# ΠΑΝΗΓΥΡΙΚΗ ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΘΑΥΜΑΤΟΥΡΓΟΥ ΕΙΚΟΝΟΣ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ ΤΗΣ

# ΠΑΡΑΜΥΘΙΑΣ

## ΜΕΤΑ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ

## ΤΟΥ ΒΑΤΟΠΑΙΔΙΝΟΥ ΤΟΥ ΕΠΙΚΑΛΟΥΜΕΝΟΥ «ΓΡΑΙΚΟΥ»

## ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ

***Τῇ κα΄ Ἰανουαρίου*** *συμψάλλεται ἡ Ἀκολουθία τῆς Παραμυθίας καὶ τοῦ Ὁσίου Μαξίμου τοῦ Βατοπαιδινοῦ, κατὰ τὴν ἐν τῇ φυλλάδι τάξιν.*

*Σημειοῦμεν μόνον τὰ ἑξῆς·*

*Πρὸ τοῦ Μικροῦ Ἑσπερινοῦ (μετὰ τὴν Θ΄ ὥραν) ἀπερχόμενοι εἰς τὸ Παρεκκλήσιον τῆς Παραμυθίας ψάλλομεν τὸν Κανόνα καὶ μεταφέρομεν ἐν πομπῇ τὴν Θαυματουργὸν Εἰκόνα εἰς τὸ Καθολικόν, ὅπου ψάλλομεν Ἀπολυτίκιον καὶ Μεγαλυνάριον καὶ γίνεται δέησις. Εἰς τὸ ἑξῆς κατὰ τὴν προσκύνησιν ἀρχόμεθα ἐκ τῆς Εἰκόνος τῆς Θεοτόκου.*

*Εἰς τὸν Μέγαν Ἑσπερινὸν ψάλλομεν Ἀνοιξαντάρια χάριν τῆς Πανηγύρεως. Ἀντὶ Πολυελέου ψάλλεται τὸ «Λόγον Ἀγαθόν», εἶτα τὸ Ἐξομολογεῖσθε καὶ ἡ Ἐκλογὴ τοῦ Ἁγίου (ὁσιακή). Εἰς τοὺς Κανόνας ψάλλομεν: η΄ τῆς Θεοτόκου (δ΄ τοῦ πρώτου κανόνος, ἅπαξ ὁ εἱρμός, καὶ δ΄ τοῦ δευτέρου κανόνος) καὶ ὁ κανὼν τοῦ Ἁγίου εἰς ς΄ (δευτεροῦντες ὅσα τροπάρια χρειάζεται). Ἡ Τιμωτέρα στιχολογεῖται κατὰ τὴν ἡμέραν ταύτην, διότι δὲν ἔχομεν Θεομητορικὴν μόνον ἑορτήν, ἀλλὰ καὶ τοῦ Ἁγίου. Μετὰ τὴν δοξολογίαν, ἂν καὶ ἦτο ὀρθώτερον νὰ ψάλλωμεν τὸ Ἀπολυτίκιον τῆς Θεοτόκου, λέγομεν τοῦ Ἁγίου λόγῳ τῆς κατὰ τὴν ὥραν ταύτην μεταφορᾶς τοῦ λειψάνου αὐτοῦ.*

*Εἰς τὴν Λειτουργίαν Ἀποστολοευαγγέλιον τοῦ Ἁγίου λέγομεν τὸ τῆς κα΄ Ἰανουαρίου (ὡς ἁρμόδιον εἰς ὁμολογητάς) καὶ τῆς Θεοτόκου ἐκ τῆς κα΄ Νοεμβρίου (διὰ τὴν εἴσοδον τῆς θαυματουργοῦ εἰκόνος ἐν τῷ Καθολικῷ Ναῷ).Τὸ «Ἄξιόν ἐστιν» καὶ τὸ Μεγαλυνάριον ψάλλονται ἐνώπιον τῆς Εἰκόνος. Φροντίζομεν δὲ νὰ ἔχωμεν μίαν ἀντίγραφον εἰκόνα τῆς Παραμυθίας διὰ τὴν Λιτὴν καὶ τὴν Τράπεζαν.*

*Σημειωτέον ὅτι ἀφ᾽ ἑσπέρας εἰς τὸ Ἀπόδειπνον καὶ εἰς τὰς Ὥρας, Ἀπολυτίκια καὶ Κοντάκια λέγομεν τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.*

***Εἰ τύχοι ἐν Τρίτῃ ἢ Σαββάτῳ,*** *οὐδὲν τῆς Βηματαρίσσης λέγομεν ἢ ἕτερόν τι μεταβάλλομεν ἐκ τῆς εἰρημένης διατάξεως τῆς φυλλάδος, ποιοῦμεν ὡς καὶ τὰς λοιπὰς ἡμέρας τῆς ἑβδομάδος.*

***Εἰ τύχοι ἐν ἡμέρᾳ Κυριακῇ (ἐκτὸς Τριῳδίου),*** *αἱ Ἀκολουθίαι συμψάλλονται μετὰ τῶν Ἀναστασίμων ὡς ἑξῆς:*

*Εἰς τὸν Μικρὸν Ἑσπερινόν, λέγομεν τὰ τὰ τῆς φυλλάδος ὡς ἔχουν. Μόνον εἰς τὰ Ἀπόστιχα ψάλλομεν πρῶτον ἓν Ἀναστάσιμον Στιχηρὸν τοῦ τυχόντος ἤχου καὶ εἶτα τὰ τῆς Θεοτόκου. Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ τῆς Θεοτόκου.*

*Εἰς τὸν Μέγαν Ἑσπερινόν, ψάλλομεν τὰ Ἀνοιξαντάρια καὶ ἀναγινώσκεται α΄ Κάθισμα τοῦ Ψαλτηρίου, ὅλον. Εἰς τὸ «Κύριε Ἐκέκραξα» ἱστῶμεν στίχους δέκα: δ΄ Ἀναστάσιμα, τὰ γ΄ πρῶτα Προσόμοια τῆς Θεοτόκου καὶ γ΄ Προσόμοια τοῦ Ἁγίου. Δόξα, τοῦ Ἁγίου. Καὶ νῦν· ἀντὶ τοῦ Δογματικοῦ λέγεται τὸ τῆς Θεοτόκου (βλ. Τυπ. εἰς τὰς Θεομητορικὰς Ἑορτάς). Εἴσοδος καὶ τὸ Προκείμενον «Ὁ Κύριος ἐβασίλευσεν...». Τὰ Ἀναγνώσματα καὶ ἡ Λιτὴ ὡς ἔχουν. Εἰς τὰ Ἀπόστιχα ἓν Ἀναστάσιμον Στιχηρὸν τοῦ τυχόντος ἤχου καὶ εἶτα τὰ Ἀπόστιχα τῆς φυλλάδος ὡς ἔχουν. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων τὸ Ἀπολυτίκιον τῆς Θεοτόκου, τοῦ Ἁγίου καὶ τὸ «Θεοτόκε Παρθένε».*

*Εἰς τὸ «Θεὸς Κύριος» Ἀπολυτίκια: Ἀναστάσιμον δίς, Δόξα· τοῦ Ἁγίου. Καὶ νῦν· τῆς Θεοτόκου. Καθίσματα εἰς τὴν α΄ Στιχολογίαν τὰ Ἀναστάσιμα. Εἰς τὴν β΄ Στιχολογίαν τὰ Καθίσματα τῆς φυλλάδος ὡς ἔχουν. Ἀντὶ Πολυελέου ψάλλεται τὸ «Λόγον Ἀγαθόν», εἶτα τὸ Ἐξομολογεῖσθε καὶ ἡ Ἐκλογὴ τοῦ Ἁγίου (ὁσιακή) καὶ εὐθὺς (ἄνευ Δόξα, Καὶ νῦν) τὰ Εὐλογητάρια· εἶτα ἡ Ὑπακοή, τὰ μετὰ τὸν Πολυέλεον Καθίσματα τῆς φυλλάδος, οἱ Ἀναβαθμοὶ τοῦ τυχόντος ἤχου, τὸ Ἑωθινὸν Εὐαγγέλιον καὶ τὰ λοιπὰ ὡς συνήθως τῆς Κυριακῆς[1].*

*Κανόνες (ἄνευ στιχολογίας): ὁ Ἀναστάσιμος εἰς δ΄, τῆς Θεοτόκου εἰς ς΄ (οἱ δύο κανόνες ἀνὰ γ΄, ἄνευ εἱρμῶν) καὶ τοῦ Ἁγίου εἰς δ΄. Καταβασίαι ὡς ἔχουν. Ἀπὸ γ΄ ᾠδῆς: Κοντάκιον Ἀναστάσιμον, καὶ μετὰ τοῦ Οἴκου τοῦ Ἁγίου (χύμα). Εἶτα τὰ Καθίσματα ὡς ἔχουν. Ἀφ᾽ ς΄ ᾠδῆς Κοντάκιον καὶ Οἶκον τῆς Θεοτόκου. Στιχολογεῖται καὶ ἡ «Τιμιωτέρα». Μετὰ τό, «Ἅγιος Κύριος...» Ἐξαποστειλάριον Ἀναστάσιμον, τοῦ τυχόντος ἑωθινοῦ. Εἶτα, τὰ τῆς φυλλάδος ὡς ἔχουν.*

*Εἰς τοὺς Αἴνους δίδοται τὸ ἅγιον ἔλαιον καὶ ψάλλομεν: β΄ Ἀναστάσιμα, γ΄ Προσόμοια τῆς Θεοτόκου, καὶ γ΄ τοῦ Ἁγίου μετὰ τοῦ δοξαστικοῦ ὡς Ἰδιομέλου. Δόξα, τῆς Θεοτόκου (ἐν τῇ φυλλάδι εὑρίσκεται ὡς Καὶ νῦν). Καὶ νῦν, Ὑπερευλογημένη. Μετὰ τὴν Δοξολογίαν τὸ Ἀναστάσιμον Τροπάριον. Τὸ Ἑωθινὸν λέγεται μετὰ τὴν ἐκτενῆ.*

*Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοὶ εἰς ιβ΄ στίχους: Ἀναστάσιμα τοῦ ἤχου εἰς δ΄, τῆς Θεοτόκου ἡ γ΄ ᾠδὴ εἰς δ΄ (τοῦ α΄ κανόνος) καὶ τοῦ Ἁγίου ἡ ς΄ εἰς δ΄. Εἰσοδικὸν «Δεῦτε προσκυνήσωμεν... ...ὁ ἀναστὰς ἐκ νεκρῶν ...» (δίς) τὸ δὲ τρίτον «...ὁ ἐν ἁγίοις θαυμαστός...». Ἀπολυτίκια: Ἀναστάσιμον δίς, τῆς Θεοτόκου, τοῦ Ἁγίου, (οὐ λέγομεν δὲ τὰ λοιπὰ συνήθη διὰ τὴν Ἑορτήν) ἀλλ᾽ εὐθύς· Ὑπακοή, Κοντάκιον τοῦ Ἁγίου· καὶ τέλος Κοντάκιον τῆς Θεοτόκου Παραμυθίας (τὸ τῆς Ὑπαπαντῆς σήμερον δὲν λέγεται). Προκείμενον καὶ Ἀλληλούϊα τῆς Κυριακῆς. Ἀπόστολος τῆς Κυριακῆς καὶ τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς καὶ τῆς Θεοτόκου. Κοινωνικά: «Αἰνεῖτε τὸν Κύριον...», «Ποτήριον...» καὶ «Εἰς μνημόσυνον...». Εἰς τὴν εὐλόγησιν τῶν Κολλύβων Ἀπολυτίκιον τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου καὶ Κοντάκιον τῆς Θεοτόκου. Εἰς τὴν Τράπεζαν τὰ Ἀναστάσιμα, τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.*

*Σημειωτέον ὅτι ἀφ᾽ ἑσπέρας εἰς τὸ Ἀπόδειπνον καὶ εἰς τὰς Ὥρας, Ἀπολυτίκια καὶ Κοντάκια λέγομεν πρῶτον Ἀναστάσιμα· τῆς δὲ Θεοτόκου καὶ τοῦ Ἁγίου ἐναλλάξ.*

***Εἰ τύχοι ἡ κα΄ Ἰανουαρίου ἐν ἡμέρᾳ Κυριακῇ μετὰ Τριῳδίου**, τότε (διὰ τὸ ἀσύγχυστον) ἐναλλάσσομεν τὰς ἀκολουθίας τῶν ἡμερῶν κ΄ καὶ κα΄, ἤτοι ψάλλομεν τῆς Παραμυθίας μετὰ τοῦ Ἁγίου Μαξίμου τῷ Σαββάτῳ κ΄ τοῦ μηνός. Καὶ τοῦ Ἁγίου Εὐθυμίου τοῦ Μεγάλου τῇ Κυριακῇ κα΄ τοῦ μηνὸς μετὰ τοῦ Τριῳδίου καὶ τῶν Ἀναστασίμων, κατὰ τὴν διάταξιν τῶν συμπιπτόντων ἐν Κυριακῇ μετὰ Τριῳδίου Ἁγίων.*

[1] Τὸ Τυπικὸν ἀντικαθιστᾷ τὸ ἑωθινὸν εὐαγγέλιον μόνον εἰς τὰς κυρίας Θεομητορικὰς ἑορτὰς (Γενέσιον τῆς Θεοτόκου, Εἰσόδια, Εὐαγγελισμόν, Ὑπαπαντὴν καὶ Κοίμησιν. Βλ. καὶ Ξηροπ. Τυπ. σελ. 74).

# ΑΚΟΛΟΥΘΙΑ ΠΑΝΑΓΙΑΣ ΠΑΡΑΜΥΘΙΑΣ ΚΑΙ ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ ΤΟΥ ΒΑΤΟΠΑΙΔΙΝΟΥ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Εἰς τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχους δ΄ και ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια.**

**Τῆς Παραμυθίας.**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Ἐκ τῆς σεπτῆς σου Εἰκόνος, πάλαι φωνήσασα, πειρατικῆς ἐφόδου, Θεοτόκε ἐῤῥύσω, Μονὴν Βατοπαιδίου, τὴν ἱεράν· διὰ τοῦτο τὸ θαῦμά σου, ἀνακηρύττομεν πάντες, καὶ τὴν θερμήν, προστασίαν σου καὶ πρόνοιαν.

Τὴν ἐν τῷ Ἄθῳ ἁγίαν, Μονήν σου φύλαττε, Παραμυθία Κόρη, τῇ σεπτῇ σου Εἰκόνι, πιστῶς σεμνυνομένην, καὶ τὴν μορφήν, προσκυνοῦσαν τὴν θεῖάν σου, παραμυθίαν παρέχουσαν ἀληθῆ, τοῖς προστρέχουσι τῇ σκέπῃ σου.

**Ἕτερα. Τοῦ Ἁγίου Μαξιμου.**

**Ὅμοια.**

Τῇ φιλοσόφῳ σπουδῇ σου, τὸν ἔξω ἄνθρωπον, ὦ Μάξιμε πλουτήσας, καὶ ἀσκήσει τὴν χάριν, τῶν θείων Ἀποστόλων ἔνδον λαβών, Ἐκκλησίας τὸ πλήρωμα, ταῖς διδαχαῖς σου ἐστήριξας ἀληθῶς, καὶ ἀθλήσει ἐπεσφράγισας.

Τοῦ Βαπτιστοῦ σὺ τὸν ζῆλον, ἐκμιμησάμενος, μετάνοιαν διδάσκεις, τοὺς λαοὺς θεῖε πάτερ· καὶ φθόνῳ τῶν κρατούντων διαβληθείς, τῇ εἱρκτῇ ἐκαρτέρησας, χρόνοις τριάκοντα ὅλοις ἐν τοῖς δεσμοῖς, ἐπεσφράγισας τὸν βίον σου.

***Δόξα.* Τοῦ Ἁγίου Μαξίμου.**

**Ἦχος πλ.β΄.**

Τὸ τῆς Μονῆς ἡμῶν θρέμμα, Μάξιμον τὸν Ἱερώτατον, τὸν διπλῆν τὴν χάριν λαβόντα, Ὁσίου καὶ διδασκάλου· τὸν τῇ ὁμολογίᾳ τὸν βίον σφραγίσαντα, ἐπαινέσωμεν σήμερον φιλέορτοι. Ὃς καὶ πρεσβεύει, σὺν τοῖς λοιποῖς ἡμῶν Πατρᾶσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***Καὶ νῦν.* Τῆς Παραμυθίας.**

**Ἦχος ὁ αὐτός.**

Τῶν πολλῶν δωρεῶν, αἱ δαψιλεῖς χορηγίαι, πᾶσαν γλῶσσαν διεγείρουσι, πρὸς ὕμνον καὶ αἶνον, τῶν θαυμασίων σου Παρθένε· πανταχοῦ γὰρ προφθάνεις, καὶ τοὺς ἐν κινδύνοις διασῴζεις, παραμυθουμένη τοὺς ἐν θλίψεσιν, ὡς πηγὴ συμπαθείας· Διὸ τὴν ἁγίαν σου Εἰκόνα, ἣ φερωνύμως Παραμυθία κέκληται, ὡς ἐχέγγυον τῆς ἀρωγῆς σου ἔχοντες, πρὸς σὲ ὁλοσχερῶς ἀφορῶμεν. Ἀλλ᾽ ὦ Πανύμνητε Κόρη, Παραμυθία ἡμῶν καὶ σκέπη, σῷζε διὰ παντὸς τὸ σὸν ποίμνιον.

**Εἰς τὸν Στίχον.**

**Στιχηρὰ Προσόμοια.**
**Τῆς Παραμυθίας.**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Ὅτε ὁ τῆς μάνδρας προεστώς, τοῦ Βατοπαιδίου ἰδίοις, βλεφάροις εἶδέ σου, πρόσωπον τὸ πάνσεπτον, ἀλλάττον ἔκφρασιν, ἐν ταὐτῷ καὶ τοῦ Τόκου σου, τοῦ θείου Παρθένε, τότε ξένου θαύματος, Παραμυθία μου, γέγονεν οὐ μόνον αὐτόπτης, ἀλλὰ καὶ αὐτήκοος μάρτυς, τῆς πρὸς μοναστὰς θερμῆς εὐνοίας σου.

Στίχ. *Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.*

Ὅτε ὁ τῆς μάνδρας προεστώς, ἐκ τῆς σῆς ἁγίας εἰκόνος, προερχομένην φωνήν, ἤκουσεν ἐξίστατο, πῶς ὁ ἀνάξιος, μοναχός τῆς Θεόπαιδος, αὐτήκοος θείου, θαύματος ἐγένετο, καὶ τότε γόνατα, ἔκλινε ψυχῆς καὶ σαρκίου, καὶ ἀπὸ μυχίων καρδίας, σὲ Παραμυθία ἐμεγάλυνεν.

Στίχ. *Τὸ πρόσωπόν σου λιτανεύσουσιν, οἱ πλούσιοι τοῦ λαοῦ.*

Ὅτε ὁ τῆς μάνδρας προεστώς, σοῦ τῆς φιλανθρώπου προνοίας, καὶ δαψιλοῦς ἀρωγῆς, ἔγνω τὸ ἀσίγητον, Παραμυθία σεμνή, τότε πύλας οὐκ ἤνοιξε, τοῦ Βατοπαιδίου, καὶ δεινὴν ἀπέφυγε, τῶν πειρατῶν ἀπειλήν· ὅθεν σὺν χοροῖς τῶν ἀζύγων, αἶνον χαριστήριον Κόρη, τῆς Μονῆς προστάτιδί σοι ἔμελψεν.

***Δόξα. Καὶ νῦν.***
**Ὅμοιον.**

Δεῦτε τῇ Εἰκόνι ἀδελφοί, τῇ θαυματουργῷ καὶ ἁγίᾳ, τῆς Θεοτόκου ἁγνῆς· δεῦτε νῦν προσπέσωμεν, δάκρυα χέοντες· καὶ ἐν πόθῳ κραυγάσωμεν, ψυχῆς καὶ καρδίας· Πάσης περιστάσεως, ἡμᾶς ἀπάλλαξον, ἵνα ἐκ παντοίων κινδύνων πάντοτε λυτρούμενοι Κόρη, σὲ Παραμυθίαν ὀνομάζωμεν.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὰ Ἀπολυτίκια.**

**Τοῦ Ἁγίου Μαξίμου.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ἀσκήσει τὸ πρότερον, παιδαγωγήσας σαυτόν, ἐν ὄρει τοῦ Ἄθωνος, καὶ νεκρωθεὶς τῷ Θεῷ, τὸν κόσμον κατέλαβες· μέγας φανεὶς παμμάκαρ ἰσαπόστολος νέος, ἔστρεψας πλανωμένους εἰς ὁδοὺς τοῦ Κυρίου, διὸ θεόφρον Μάξιμε, ἡμῶν μνημόνευε.

***Δόξα· Καὶ νῦν.***
**Τῆς Παραμυθίας.**
**Ἦχος πλ.α΄. Τὸν συνάναρχον.**

Σῶσαι θέλουσα Κόρη τὸ Βατοπαίδιον, Παραμυθία γλυκεῖα ἐκ πειρατῶν βδελυρῶν, θαυμαστῶς τῷ προεστῶτι προσωμίλησας, καὶ καθυπέδειξας αὐτῷ, σωτηρίας χειρισμούς· διό σε νῦν εὐφημοῦντες, πιστῶς αἰτούμεθα πάντες, πρὸς τὸν Υἱόν σου τὰς θερμάς σου λιτάς.

**Καὶ Ἀπόλυσις.**



## ΕΝ Τῼ͂ ΜΕΓΑΛῼ͂ ΕΣΠΕΡΙΝῼ͂

•▲•▼•▲•▼•▲•

**Χάριν τῆς Πανηγύρεως ψάλλομεν τὰ Ἀνοιξαντάρια.**
**Εἰς τὸ "Κύριε ἐκέκραξα" ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια.**

**Τῆς Παραμυθίας.**
**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Παραμυθίας γλυκείας, καὶ ἀντιλήψεως, πιστῶν τῷ πανσεβάστῳ, ἐκτυπώματι πίστει, προσπέσωμεν οἱ δῆμοι τῶν εὐσεβῶν, ἐκβοῶντες· διάσωσον, ἐξ ἀδοκήτων παγίδων τοῦ πονηροῦ, τοὺς ὑμνοῦντάς σε Μητρόθεε.

Τῶν μοναζόντων χορεῖαι, κατασπασώμεθα, καὶ τῶν μιγάδων δῆμοι, τὴν ἁγίαν εἰκόνα, τῆς μόνης Θεοτόκου καὶ ἀρωγοῦ, τῆς βροτῶν ὁμηγύρεως, Παραμυθίας, ἣν ἔχει ὡς θησαυρόν, τιμαλφῆ τὸ Βατοπαίδιον.

Ἐκ πειρατῶν ὀλεθρίου, ἐφόδου ἔσωσας, Παραμυθία μάνδραν, τὴν τοῦ Βατοπαιδίου, ποτὲ τῷ ἡγουμένῳ ὑπερφυῶς, ὁμιλήσασα· ὅθεν σε, παρακαλοῦμεν· διάσωσον καὶ ἡμᾶς, ἐκ κινδύνων, Θεονύμφευτε.

Χαριστηρίους προσρήσεις, ἀναβοῶμέν σοι, Παραμθία Μῆτερ, τοῦ Θεοῦ γλυκυτάτη· φυλάττεις γὰρ ἀτρώτους ἐκ τοῦ ἐχθροῦ, τῶν βελῶν τοὺς οἰκέτας σου, ἀεὶ τοὺς σπεύδοντας πίστει τῷ σῷ σεπτῷ, προσκυνῆσαι ἐκτυπώματι.

**Ἕτερα προσόμοια.**
**Τοῦ Ἁγίου Μαξίμου.**
**Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.**

Τῇ ἀσκήσει τὸ πρότερον, τῇ ἀθλήσει τὸ δεύτερον, τῇ προθέσει γέγονας μάρτυς Μάξιμε, ἐν διωγμοῖς ταπεινούμενος, βαστάζων ἐπ᾽ ὤμων σου, τὸν σταυρόν καὶ ὁδηγῶν, τοὺς λαοὺς πρὸς μετάνοιαν καὶ εὐσέβειαν· τῆς σεπτῆς ἐκκλησίας κόσμος ὤφθης, ἀπονέμων σαῖς πρεσβείαις, τὸν ἱλασμὸν τοῖς τιμῶσι σε.

Τῇ τοῦ Πνεύματος χάριτι, ἐλλαμφθεὶς τὴν διάνοιαν, τὰ γεώδη ἅπαντα κατεφρόνησας, καὶ περιὼν ἐξεπαίδευσας, λαοὺς πρὸς εὐσέβειαν, θεολόγῳ διδαχῇ, καὶ τῷ ἔργῳ πατὴρ ἡμῶν, θείᾳ χάριτι, ποδηγῶν πρὸς Χριστὸν πιστῶν τὰ πλήθη, ὁδηγὸς κανὼν καὶ τύπος, καὶ πρεσβευτὴς ἐχρημάτισας.

Τὸ τοῦ Ἄθωνος βλάστημα, καὶ Μονῆς σου ἐντρύφημα, συνελθόντες ἅπαντες σὲ γεραίρομεν, ὡς ἀριστέα πανθαύμαστον, ὡς ἄλλον ἀπόστολον, ὡς φωτίσαντα λαούς, ἀληθείας ὑπέρμαχον, ὡς κρατύναντα, εὐσεβείας τὰ δόγματα σπουδῇ σου· καὶ πρεσβεύεις τῇ Μονῇ, τὰ σωτηρίας ἐχόμενα.

Διωγμοὺς ἐκαρτέρησας, καὶ χρονίαν ἐγκάθειρξιν, καὶ συκοφαντίας καὶ πᾶσαν κάκωσιν, ὑπὲρ τοῦ θείου κηρύγματος θεόληπτε Μάξιμε, ἀλλ᾽ ἐκάθηρας παντός, ἀλλοτρίου κηρύγματος, θείῳ λόγῳ σου, τὴν Χριστοῦ ἐκκλησίαν ἐν Ῥωσσίᾳ, τῇ δοθείσῃ σοι σοφίᾳ, ὡς ἀποστόλων ὁμόζηλος.

**_Δόξα._ Τοῦ Ἁγίου Μαξίμου.**
**Ἦχος πλ. δ΄.**

Συνέλθωμεν ἐν ᾄσμασι σήμερον ἡμεῖς, ἐπὶ τῇ μνήμῃ τοῦ σεπτοῦ ἡμῶν πατρός, καὶ ἰσαποστόλου, Μαξίμου τοῦ θεόφρονος. Οὗτος γὰρ οἰκονομήσας ἀρίστως, τὸ δοθὲν αὐτῷ τάλαντον, ἐμέρισε πανσόφως ὡς πιστὸς οἰκονόμος. Πάντα γὰρ καταλιπών, τὸν τοῦ Κυρίου Σταυρὸν ἀράμενος, καὶ τῷ περιβλέπτῳ Ἄθωνι φοιτήσας, ἔξω σαρκὸς καὶ κόσμου ἐγένετο· τὸν πλησίον δὲ ὡς εἰκὸς ἀγαπήσας, τῇ οἰκουμένῃ ἐπέδωκεν ἑαυτὸν καὶ πεπλανημένους λαούς, τοῖς θεοφθόγγοις αὐτοῦ λόγοις στηρίξας, φθόνῳ τοῦ ἐχθροῦ διωγμοῖς καὶ θλίψεσιν ἐνήθλησεν· ὅθεν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ εἰς τὴν οἰκουμένην καὶ πρεσβεύει ὑπὲρ ἡμῶν πρὸς Κύριον.

**_Καὶ νῦν._ Τῆς Παραμυθίας.**
**Ἦχος ὁ αὐτός.**

Πνευματικὴν πανήγυριν ἄγομεν σήμερον, οἱ ἐν Βατοπαιδίῳ ἀσκούμενοι, χρεωστικῶς ἀνυμνοῦντες, τῶν δωρεῶν σου τὰς δόσεις, Παραμυθία γλυκεῖα τοῦ κόσμου· σὺ γὰρ παραβλέπουσα τὴν ὀργὴν τοῦ Υἱοῦ σου, ὃν ὡς βρέφος ἐν χειρί σου βαστάζεις, ἐφ᾽ ἡμᾶς τοὺς εἰς Αὐτὸν ἁμαρτάνοντας, τὴν ἐναργῆ ἔδειξας ἡμῖν κηδεμονίαν σου· ὁμολογοῦντες οὖν Μῆτερ, τὰς εὐεργεσίας σου, καὶ πεποιθότες τῇ δυνάμει σου, προσκυνοῦμεν ἐν πίστει τὴν θείαν, καὶ χαριτόβρυτον εἰκόνα σου γηθόμενοι.

**Εἴσοδος.**
**Φῶς ἱλαρόν.**
**Τὸ Προκείμενον τῆς ἡμέρας.**
**Καὶ τὰ Ἀναγνώσματα.**

**Γενέσεως τὸ ἀνάγνωσμα.**
*(Κεφ. κη΄10-17)*

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαρράν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος. Καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ· καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾽ αὐτῆς· ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ᾽ αὐτῆς· καὶ εἶπεν· Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ, μὴ φοβοῦ. Ἡ γῆ, ἐφ᾽ ἧς σὺ καθεύδεις ἐπ᾽ αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ Θάλασσαν, καὶ Λίβα, καὶ Βοῤῥᾶν, καὶ ἐπ᾽ Ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς, καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην· ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ· ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη καὶ εἶπεν· Ὡς φοβερὸς ὁ τόπος οὗτος! οὐκ ἔστι τοῦτο, ἀλλ᾽ ἢ οἶκος Θεοῦ· καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

**Προφητείας Ἰεζεκιὴλ**
**τὸ Ἀνάγνωσμα.**
*(Κεφ. μγ΄27 - μδ΄1)*

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, λέγει Κύριος. Καὶ ἐπέ-

στρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς· καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι᾿ αὐτῆς, καὶ ἔσται κεκλεισμένη. Διότι ὁ ἡγούμενος οὗτος κάθηται ἐπ᾿ αὐτήν, τοῦ φαγεῖν ἄρτον. Κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς Πύλης εἰσελεύσεται καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς Βοῤῥᾶν, κατέναντι τοῦ οἴκου· καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος τοῦ Κυρίου.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**
*(Κεφ ε΄15-23, ϛ΄1-3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα. Τῆς Παραμυθίας.**
**Ἦχος α΄.**

Τὸν χειμάῤῥουν τῆς συμπαθείας τὸν ἀείῤῥοον, τὴν ἄβυσσον τῆς φιλανθρωπίας ὑμνήσωμεν, τὴν φωτοφόρον Παραμυθίαν Παρθένον, Βατοπαιδίου τὸ διάσωσμα· αὕτη γὰρ θαυμάτων ἀνεδείχθη κρήνη πολυχεύμων, ἐξ ἧς ἀρυόμεθα οἱ ταύτην προσκυνοῦντες, νάματα σωτηριώδη, καὶ ἰσχὺν καταπαλαῖσαι τὸν μισόκαλον.

**Ἦχος β΄.**

Τὰ τῆς προνοίας σου πυρσεύματα, τὰς ψυχὰς φρυκτωροῦσι τῶν δούλων σου Ἄχραντε, καὶ ζόφον τῶν πειρασμῶν καὶ θλίψεων, ὁλοσχερῶς σκεδάζουσι· διὸ εὐχαριστοῦντες ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς σου, χαριστήριον αἴνεσιν προσάγομέν σοι, οἱ ἐν Βατοπαιδίῳ οἰκοῦντες κράζοντες· Χαῖρε, Παραμυθία τῶν θλιβομένων, τῶν ἀβοηθήτων βοήθεια, καὶ τῶν ἐπιποθούντων τὴν ἐν Χριστῷ τελείωσιν, ποδηγέτις ἀλάνθαστος.

**Ἦχος δ΄.**

Φιλανθρώπως δράσασα, τῷ προεστῶτι προσωμίλησας, Παραμυθία γλυκεῖα, καὶ τὴν μονήν σου ἐῤῥύσω, ἐκ τῆς πειρατῶν ἐπιθέσεως· ὅθεν ὡς

πηγὴν συμπαθείας, καὶ οἰκτιρμῶν καὶ ἐλέους νεφέλην, κοσμοπόθητε Δέσποινα, μονοτρόπων τὰ συστήματα σὲ μεγαλύνομεν.

**Ἕτερα. Τοῦ Ἁγίου Μαξίμου.**
**Ἦχος α΄.**

Εὐφραίνου ἐν Κυρίῳ, Βατοπαιδίου ἡ μάνδρα, ἀβρυνομένη τοῖς ἱδρῶσι καὶ παλαίσμασι τοῦ εὐκλεοῦς βλαστοῦ σου, Μαξίμου τοῦ παμμάκαρος, σὺν πάσαις ταῖς πόλεσι, ἃς λόγῳ τῷ σωτηρίῳ ἐφώτισε· καὶ σὺ σκίρτα καὶ χόρευε, ἡ ἐν Ῥωσσίᾳ Ἐκκλησία τοῦ Θεοῦ, τοιοῦτον ὁδηγὸν πλουτήσασα, καὶ θεοειδῆ διδάσκαλον, ἀσφαλῶς σε ὁδηγοῦντα, πρὸς σωτηρίους νομάς. Πάντες οὖν κατὰ χρέος τὴν μνήμην αὐτοῦ ἑορτάζοντες, τῷ Σωτῆρι βοήσωμεν· Φιλάνθρωπε Κύριε, ταῖς τοῦ σοῦ Ὁσίου θεράποντος πρεσβείαις, δίδου ἡμῖν τὰ ἐλέη σου καὶ σῶσον ἡμᾶς.

**Ἦχος β΄.**

Ἐξ ἀσκητικῶν ἱδρώτων, πρὸς Ἀποστολικοὺς ἀπεδύσω ἀγῶνας, ἐν θεολήπτῳ ψυχῇ, καὶ ῥοπῇ τῇ ἄνωθεν, θεηγόρε πάτερ Μάξιμε· τῆς ἀληθοῦς γὰρ σοφίας, μύστης γενόμενος, δοκησισόφων φληναφήματα, καὶ αἱρετικῶν γλωσσαλγίας, τῷ σῷ λόγῳ διήλεγξας καὶ πόῤῥω ταῦτα ἀπέῤῥιψας, τοῦ εὐσεβοῦς πληρώματος. Διὸ Χριστὸς ὁ Κύριος τοὺς σοὺς καμάτους δεξάμενος, περιφανῶς σε ἐδόξασε, καὶ τῆς αὐτοῦ βασιλείας κληρονόμον ἀνέδειξεν· ἧς καὶ ἡμεῖς ἀξιωθείημεν, ταῖς πρὸς αὐτὸν πρεσβείαις σου.

**Ἦχος δ΄.**

Τῆς κεκρυμμένης ἐν Χριστῷ ζωῆς, καρποφορῶν τὴν λαμπρότητα τοὺς ποικίλους πειρασμοὺς καὶ θλίψεις καὶ βασάνους, ἀνενδότως ἤνεγκας, θεοφόρε πάτερ Μάξιμε· δι᾽ ὧν ὡς χρυσὸς ἐν καμίνῳ δοκιμασθείς, ὑπὲρ ἥλιον ἔλαμψας, καὶ τῶν παθῶν τοῦ Σωτῆρος, σύμμορφος γέγονας· *καὶ νῦν* τῆς δόξης αὐτοῦ κατατρυφῶν καὶ τῷ τῆς ὁμολογίας στεφάνῳ λαμπρῶς πεποικιλμένος, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***Δόξα.* Τοῦ Ἁγίου Μαξίμου.**
**Ἦχος πλ. β΄.**

Τὸν ἐν σοφίᾳ περιφανῆ, καὶ ἐν ἱεροῖς ἀγῶσιν ἀριστεύσαντα, Μάξιμον τὸν φερωνύμως μέγαν, πᾶς ὁ τοῦ Θεοῦ λαὸς καὶ ἐξαιρέτως ὁ Ἄθως, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν· οὗτος γὰρ κατὰ Παῦλον, ὡς αὐτοῦ ζηλωτής, ἐν κόποις καὶ θλίψεσιν ὑπερβαλλόντως, καὶ ἐν φυλακαῖς περισσοτέρως, ὑπὲρ τῆς εὐσεβείας δοκιμαζόμενος, τὴν ζωὴν διελήλυθε· *καὶ νῦν* μακαρίων ἐπάθλων κατατρυφῶν, καὶ θέσει θεούμενος, αἰτεῖται πᾶσιν ἡμῖν πταισμάτων ἄφεσιν, καὶ τὸ θεῖον ἔλεος.

***Καὶ νῦν.* Τῆς Παραμυθίας.**
**Ἦχος ὁ αὐτός.**

Τῆς προστασίας σου γνωρίσματα, τίς διηγήσεται, Παραμυθία τοῦ κόσμου, δι᾽ ὧν εὐεργετεῖς πολλαχῶς τοὺς ὑμνοῦντάς σε; Σὺ γὰρ ἐπερχομένων συμφορῶν ἀπαλλάττεις, καὶ πραΰνεις τὸν τάραχον τῆς ψυχῆς, τῶν προσκυνούντων σου εἰκόνα τὴν θαυματόβρυτον, καὶ κραυγαζόντων ἐκ πόθου· Μὴ ἀντανέλῃς ἀφ᾽ ἡμῶν τὸ τῆς εὐνοίας σου ὄμμα καὶ φύλαττε τοὺς δούλους σου ἐκ πολεμίων ἀσάρκων, βραβεύουσα ἡμῖν εἰρήνην ἀδιάπτωτον.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

**Προσόμοια Στιχηρά.**
**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Δεῦτε τῶν μοναζόντων χοροί, τὴν ἀρωγὸν ἡμῶν καὶ ἔφορον μέλψωμεν, ἀσμένως ὡς παραστάτιν, ἐν τοῖς τοῦ βίου δεινοῖς, καὶ πρὸς τὸν Σωτῆρα θείαν πρέσβειραν, βοῶντες· ἐπίβλεψον, οὐρανόθεν Παντάνασσα, Παραμυθία καὶ ἀπάλλαξον τάχιστα, τοὺς τιμῶντάς σε, ἀπὸ πάσης κακώσεως, ἵνα τὴν σὴν συμπάθειαν, καὶ θείαν σου πρόνοιαν, ὁμολογῶμεν τοῖς πᾶσιν, ἐν συμφοραῖς οἱ προσφεύγοντες, τῇ σῇ προστασίᾳ, καὶ εἰκόνα προσκυνῶμεν, τὴν παναγίαν σου.

Στίχ. *Ἄκουσον, Θύγατερ, καὶ ἴδε καὶ κλίνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.*

Χαίροις, Βατοπαιδίου Μονῆς, Παραμυθία, τὸ σεπτὸν ἀγαλλίαμα, ἡ κρήνη ἡ ἀεννάως, τοῖς μονασταῖς ἀληθῶς, βλύζουσα ἰάσεις, ἀῤῥωστήματα, αὐτῶν θεραπεύουσα, τῆς ψυχῆς καὶ τοῦ σώματος, ὀργῆς δὲ νέφη, ἐξαιρέτως διώκουσα, ζοφερότατα τὰς ψυχὰς καταφθείροντα· μέμνησο οὖν Μητρόθεε, ἡμῶν τῶν τιμώντων σε, καὶ τὴν σεπτήν σου εἰκόνα, ἀσπαζομένων ἑκάστοτε, καὶ πέμψον εἰρήνης, δροσοβόλον ἐπομβρίαν, τοῖς σὲ γεραίρουσιν.

Στίχ. *Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.*

Χαίροις, ἡ πειρατῶν τὰς ὀρδάς, τροπωσαμένη καὶ τὴν μάνδραν σου σώσασα, ταχέως Παραμυθία, ἐξ ἀνηκέστου φθορᾶς, ὀλεθρίου βλάβης, καὶ συλήσεως, αὐτῆς τῇ σῇ χάριτι, φιλαθρώπως μυνήσασα, τῷ προεστῶτι, τὸν ἐσόμενον κίνδυνον, παραβλέπουσα μοναστῶν ἀτοπήματα· ὅθεν σε μεγαλύνομεν ὡς ῥῦστιν Θεόνυμφε, καὶ τῆς θερμῆς σου προνοίας, ἑωρακότες τὴν δύναμιν, κηρύττομεν πᾶσι, τὴν πολλήν σου παῤῥησίαν, καὶ χάριν ἄφθονον.

***Δόξα.* Τοῦ Ἁγίου Μαξίμου.**
**Ἦχος πλ. β΄.**

Ὅσιε πάτερ, τοῦ παρακλήτου φωτὶ ἐλλαμθείς, ποταμοὺς ὑδάτων ζωῆς ἀνέβλυσας, καὶ διψῶντας λαοὺς ἐνδείᾳ τηκομένους, εἰς λειμῶνας ζῶντας μετέβαλες· τὰ ἤθη δὲ τούτων ἀναπλάσας, λαὸν Κυρίου τούτους ἀπετέλεσας. Ἀποστόλων καὶ μαρτύρων κοινωνήσας τοῖς ἄθλοις, ὁμολογίᾳ τὸν βίον σου ἐσφράγισας, *καὶ νῦν* ἐν οὐρανοῖς τοὺς μισθοὺς ἀπολαύων, μέμνησο καὶ ἡμῶν Μάξιμε πανθαύμαστε.

***Καὶ νῦν.* Τῆς Παραμυθίας.**
**Ἦχος ὁ αὐτός.**

Σήμερον οἱ ἐν Βατοπαιδίῳ ἡσυχάζοντες, τὰς πρὸς ἡμᾶς εὐεργεσίας σου διαφερόντως ἀνυμνοῦμεν, Παραμυθία γλυκυτάτη· σὺ γὰρ ὡς θησαύρισμα συμπαθείας καὶ τῆς μάνδρας ταύτης ἔφορος, τὴν πάλαι καθ' ἡμῶν τῶν ἀναξίων σου δούλων, μανίαν τῶν πειρατῶν διέλυσας· σπεῦσον οὖν καὶ ἀχλὺν δυσθυμίας ἡμῶν διαλῦσαι, καὶ ἐκ τῆς γεέννης τοῦ πυρὸς τοῦ ἀσβέστου σῶσαι, τοὺς σὲ κατέχοντας ἐλπίδα καὶ στήριγμα.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὰ Ἀπολυτίκια.**

**Ἀπολυτίκιον τῆς Παραμυθίας.**
**Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.**

Σῶσαι θέλουσα Κόρη τὸ Βατοπαίδιον, Παραμυθία γλυκεῖα ἐκ πειρατῶν βδελυρῶν, θαυμαστῶς τῷ προεστῶτι προσωμίλησας, καὶ καθυπέδειξας αὐτῷ, σωτηρίας χειρισμούς· διό σε νῦν εὐφημοῦντες, πιστῶς αἰτούμεθα πάντες, πρὸς τὸν Υἱόν σου τὰς θερμάς σου εὐχάς.

**Ἢ Ἕτερον τῆς Παραμυθίας.**
**Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.**

Τῆς ποίμνης κυκλωθείσης ὑπὸ τῶν πολεμίων, καὶ τῶν διωκτῶν ὑλακτούντων κατὰ τῶν σῶν προβάτων, προσεῖπας τῷ δούλῳ σου Ἁγνή, καθ' ὕπαρ φωνήσασα αὐτῷ· διὰ τοῦτο καὶ χορεῖαι τῶν μοναστῶν, σοὶ κράζουσι Θεοτόκε· Δόξα τῇ ἀντιλήψει σου Σεμνή, δόξα τῇ προστασίᾳ σου, δόξα Παραμυθία, σοὶ μόνη Πανύμνητε.

**Τοῦ Ἁγίου Μαξίμου.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ἀσκήσει τὸ πρότερον, παιδαγωγήσας σαυτόν, ἐν ὄρει τοῦ Ἄθωνος, καὶ νεκρωθεὶς τῷ Θεῷ, τὸν κόσμον κατέλαβες· μέγας φανείς παμμακαρ ἰσαπόστολος νέος, ἔστρεψας πλανωμένους εἰς ὁδοὺς τοῦ Κυρίου, διὸ θεόφρον Μάξιμε, ἡμῶν μνημόνευε.

**Τό "Θεοτόκε Παρθένε",**
**Καὶ ἡ Ἀκολουθία τῆς Ἀρτοκλασίας.**

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν ἑξάψαλμον,**
**εἰς τὸ "Θεὸς Κύριος" τὰ Ἀπολυτίκια τῆς Παραμυθίας, τοῦ Ἁγίου καὶ πάλιν τῆς Παραμυθίας.**

**Μετὰ τὴν Α΄ Στιχολογίαν.**
**Κάθισμα τῆς Παραμυθίας.**

**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Ἡ χάρις σου Ἁγνή, συμφορὰς ἐκδιώκει, καὶ πάθη ζοφερὰ τῶν ψυχῶν ἀπελαύνει, Μητρόθεε πάγκαλε· ὅθεν πάντες μελῴδημα, σοὶ προσάγοντες, Παραμυθία τοῦ κόσμου, παναρμόνιον, τὰς ῥυπτικάς σου πρεσβείας, πρὸς Κτίστην αἰτούμεθα.

***Δόξα.* Τοῦ Ἁγίου.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Δεσμοῖς προσωμίλησας, καὶ φυλακαῖς ζοφεραῖς, ὡς φύλαξ καὶ πρόβολος, τῶν Ὀρθοδόξων θεσμῶν, θεόσοφε Μάξιμε· ὅθεν καὶ μαρτυρίου, τὸν ἀγῶνα ἀνύσας, ὤφθης Ὁσιομάρτυς, εὐκλεὴς τοῦ Σωτῆρος, αἰτούμενος ἡμῖν, φῶς θεῖον καὶ ἔλεος.

***Καὶ νῦν.* Τῆς Παραμυθίας. Ὅμοιον.**

Ὡσεὶ εὐσυμπάθητος, Παραμυθία κλεινή, διάσωσον ἅπαντας, ἐξ ἀδοκήτων δεινῶν, καὶ βλάβης τοῦ ὄφεως, σοῦ τοὺς ἀσπαζομένους, τὴν ἁγίαν εἰκόνα, πόθῳ καὶ τὰς λιτάς σου, ἐκζητοῦντας πρὸς Κτίστην, καὶ μόνον Ζωοδότην ἡμῶν, ὅν ἐσωμάτωσας.

**Μετὰ τὴν Β΄ Στιχολογίαν.**
**Κάθισμα τῆς Παραμυθίας.**

**Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

Κατεπλάγη κατιδών, τὴν παναγίαν σου μορφήν, ἐν Εἰκόνι τῇ σεπτῇ, Βατοπαιδίου τῇ Μονῇ, ὁ καθηγέτης ταύτης θεογεννῆτορ· καὶ πάντες ἀ-

δελφοί, αἶνόν σοι ᾖνεσαν, σωθέντες διὰ σοῦ, καταδουλώσεως, Παραμυθία Παρθένε Πανύμνητε, καὶ εὐχαρίστως ἐβόων σοι· χαῖρε προστάτις, ἡμῶν καὶ σκέπη, καὶ ἀσφαλὲς παραμύθιον.

**Δόξα. Τοῦ Ἁγίου. Ὅμοιον.**

Ὑπετάγης τῷ Θεῷ καὶ ὑπετάγη σοι σοφέ, σαρκός τὰ πάθη· καὶ ὁ νοῦς, τῆς ἀπαθείας τῷ φωτί, τῇ θεωρίᾳ τοῦ κρείττονος κατελάμφθη· Σοφίᾳ παιδευθείς, τὰ θεῖα πάσχων λαλεῖς· καὶ γέγονας ποιμήν, σῴζων ἐκ πλάνης λαούς, πνεύματος θείου ὤφθης δοχεῖον, τοῦ ἀπροσίτου καὶ θείου φωτός. Μάξιμε θεῖε, τῶν σὲ τιμώντων, μέμνησο παμμακάριστε.

**Καὶ νῦν. Τῆς Παραμυθίας. Ὅμοιον.**

Παραμύθιον ἡμῶν, καὶ καταφύγιον θερμόν, καὶ προστάτις ἀσφαλής, ὡς τετοκυῖα τὸν Χριστόν, ἡμῶν Παρθένε πέλεις ἐν ἀληθείᾳ, ὅθεν εὐλαβῶς ἀναβοῶμέν σοι· Φύλαττε ἀεί, ταύτην τὴν Μάνδραν σου, ᾗ τῇ σεπτῇ σου Εἰκόνι ἀγάλλεται, Παραμυθία καὶ τέρπεται, καὶ δίδου ταύτῃ, ὑψόθεν Κόρη, τὰς μητρικὰς χορηγίας σου.

**Μετὰ τὸν Πολυέλεον.**
**Κάθισμα τῆς Παραμυθίας.**
**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Ἀγάλλονται χοροί, μονοτρόπων τὴν θείαν, εἰκόνα σου πιστῶς προσκυνοῦντες Παρθένε, ἣν ἔχει ὡς ἄσυλον, θησαυρὸν καὶ κραταίωμα, τὸ περίπυστον, Βατοπαιδίου σεμνεῖον, καὶ κραυγάζουσι· Παραμυθία, προστάτις, ἡμῶν πέλεις ἔνθερμος.

**Δόξα. Τοῦ Ἁγίου.**
**Ἦχος πλ.δ΄. Τὴν Σοφίαν καὶ Λόγον.**

Ὡς πολύτιμον κόσμον ἡ σὴ Μονή, τὴν ὁσίαν σου μνήμην καταπλουτεῖ, τιμῶσα τοὺς ἄθλους σου, τοὺς ἐντὸς καὶ ἐκτὸς αὐτῆς, σωτηρίαν πᾶσι ἀεὶ τοὺς παρέχοντας, καὶ καρδίας πάντων, πιστῶν κατευφραίνοντας· ὅθεν συνελθόντες, τὴν ἁγίαν σου μνήμην, τελοῦμεν γηθόμενοι, τὸν Χριστὸν μεγαλύνοντες· τῆς Μονῆς σου ἀγλάϊσμα, πρέσβευε τῷ μόνῳ Θεῷ, τῶν πταισμάτων, ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τοὺς θείους ἀγῶνας σου.

**Καὶ νῦν. Τῆς Παραμυθίας.**
**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Λιμένα εὔδιον καὶ ὅρμον ἄκλυστον, εἰκόνα κέκτηται τὸ Βατοπαίδιον, Παραμυθίαν τὴν σεπτήν, καὶ θείαν σου ᾗ προστρέχει, ἐν δειναῖς ἑκάστοτε, τρικυμίαις τοῦ χείρονος, καὶ εὑρίσκει λύτρωσιν· ὅθεν δόξαν ἀέναον, σοὶ πέμπει γαληνεύουσα πίστει, Μῆτερ μερόπων γλυκυτάτη.

**Εἶτα οἱ Ἀναβαθμοί·**
**Τὸ Α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου**
**(*Ἐκ νεότητός μου...*)**

**Προκείμενον·**

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. **(τρίς)**

Στίχ. *Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.*

**Πᾶσα πνοή.**
**Εὐαγγέλιον τῆς Θεοτόκου,**
**καὶ ὁ Ν΄ Ψαλμός.**

**Εἶτα· *Δόξα.* Ἦχος β΄.**

Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν. Ὁ αὐτός.**

Ταῖς τῆς τῶν ἀνθρώπων, σεπτῆς Παραμυθίας, πρεσβείαις δός μοι λῦσιν, τῶν πταισμάτων Οἰκτῖρμον.

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

Στίχ. *Ἐλέησόν με ὁ Θεός κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Παρηγορίαν καὶ σύμμαχον καὶ ἑτοίμην ἐν δίναις βοηθόν, κατέχομέν σε Παραμυθία ὑπερένδοξε· σὺ γὰρ τὸν καύσωνα, παραπτωμάτων καὶ θλίψεων, τῇ παναπείρῳ εὐσπλαγχνίᾳ σου, κατασβεννύεις θείᾳ δρόσῳ· δεῖξον οὖν καὶ ἡμῖν, τὰ τῆς φιλανθρωπίας σου αἰσθήματα, καὶ σῶσον τοὺς τιμῶντάς σε, ἀπὸ πάσης κακώσεως.

**ΟΙ ΚΑΝΟΝΕΣ**

**ψάλλονται οὕτως: τῆς Θεοτόκου η΄ (δ΄ τοῦ πρώτου, ἅπαξ ὁ εἱρμός, καὶ δ΄ τοῦ δευτέρου) καὶ τοῦ Ἁγίου εἰς ϛ΄.**

**Κανὼν τῆς Θεοτόκου Παραμυθίας, οὗ ἡ ἀκροστιχίς: «ΠΑΡΑΜΥΘΙΑ ΓΛΥΚΕΙΑ ΠΕΛΕΙΣ ΜΟΙ, ΘΕΟΤΟΚΕ. Χ.»**

**Ὠδὴ α΄.**

**Ἦχος δ΄. Ὁ Εἱρμός.**

*»Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθή»σεται πνεύματος, καὶ λόγον ἐρεύξο»μαι, τῇ βασιλίδι Μητρί· καὶ ὀφθή»σομαι, φαιδρῶς πανηγυρίζων, καὶ »ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.*

Παντάνασσα Δέσποινα, Παραμυθία γλυκεῖά μου, τὰ χείλη μου ἄνοιξον, ἵνα ὑμνήσω λαμπρῶς, προστασίας σου, τὸ ἄμετρον καὶ θείας, προνοίας σου πάντοτε, τὸ ἀδιάπτωτον.

Ἁγίασον Ἄχραντε, τοὺς προσκυνοῦντας ἑκάστοτε, τὴν θείαν εἰκόνα σου, Παραμυθία πιστῶς, ὑπὲρ ἔννοιαν ἐκ πειρατῶν ἐφόδου, δεινῆς Βατοπαίδιον, τὴν διασώσασαν.

Ῥανίδας ἐλέους σου, καὶ συμπαθείας σταγόνας σου, ποτὲ ὡς ἐπέσταξας, τοῖς μονοτρόπων χοροῖς, νῦν κραυγάζω σοι, σεμνὴ Παραμυθία, θεόνυμφε στάξον μοι, τάχος καὶ σῶσόν με.

Ἀνέλπιστον λύτρωσιν, ἐκ πειρατῶν εὗρον νεύσει σου, οἱ ὧδε μονάζοντες, Παραμυθία τὸ πρίν, κἂν ἐπίκραινον, Χριστόν τινες ἐκ τούτων· διὸ ὕμνοις ἔκτοτε, θείοις σε στέφομεν.

Μητράνανδρε Δέσποινα, τῆς εὐσπλαγχνίας κειμήλιον, τοῦ τόκου σου φεύγουσα, τὴν προτροπὴν συμπαθῶς, διεμήνυσας, μονῆς τῷ ἡγουμένῳ, ἐχθρῶν τὴν ὀλέθριον, μέλλουσαν ἔφοδον.

**Ἕτερος τῆς Θεοτόκου Παραμυθίας, οὗ ἡ ἀκροστιχίς: «ΣΠΥΡΙΔΩΝΙ ΔΙΔΟΥ ΧΑΡΙΝ ΚΟΡΗ. ΓΕΡΑΣΙΜΟΥ»**

**Ὠδὴ α΄.**

**Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Συμπάθειαν ἔχουσα μητρικήν, ἐπόμβρησον πᾶσι, οἰκτιρμῶν σου τὸν γλυκασμόν, ὡς παραμυθία ἡμῶν Κόρη, ἵνα ῥυσθῶμεν πικρᾶς καταθλίψεως.

Πηγὴ συμπαθείας τῆς θεϊκῆς, Κεχαριτωμένη, παραμύθησαι μυστικῶς, ἡμῶν τὰς καρδίας Θεοτόκε, ἵνα ῥυσθῶμεν βελῶν τοῦ ἀλάστορος.

Ὑψίστου ἀνάκτορον παμφαές, φωτὶ τῷ ἀΰλῳ, διασκέδασον ὁλικῶς, δεινῆς ἀθυμίας μου τὸ σκότος, Παραμυθία ἡμῶν καὶ παράκλησις.

Ῥανῖσι τῶν θείων σου δωρεῶν, Εἰκών σου ἡ θεία, καταρδεύει πάντας ἡμᾶς, τοὺς πίστει αὐτῇ προσερχομένους, Παραμυθία τῇ σῇ ἀγαθότητι.

**Ὁ κανὼν τοῦ Ἁγίου Μαξίμου, οὗ ἡ ἀκροστιχίς: «ΒΑΤΟΠΑΙΔΙΟΥ ΜΑΞΙΜΟΝ ΚΛΕΙΝΟΝ ΓΕΡΑΙΡΩ. ΙΩΣΗΦ»**

**Ὠδὴ α΄.**
**Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**

Βεβαρημένον τοῖς πολλοῖς μου πταίσμασι, τὸν νοῦν μου Δέσποτα, φώτισον καὶ λῦσον, τὴν ἐμὴν διάνοιαν, ὅπως ὑμνήσω Μάξιμον, τὸν σὸν δοῦλον ἀξίως, καὶ τὸν αὐτοῦ μέγαν ἔπαινον, πλέξω εὐφροσύνως γηθόμενος.

Ἁρματηλάτην τὸν ἐχθρὸν κατέτρωσε, τὸν νοητὸν Φαραώ, νεανικῶς τοῦτον, ἄρδην ἐξεφαύλισε· τῶν γὰρ ἠθῶν σεμνότητα, τοὺς λαοὺς κατηχήσας, τῆς εὐσεβείας τοῖς δόγμασι, Μάξιμος ὁ θεῖος ἐπαίδευσε.

Ταῖς φωτοβόλοις ἀρεταῖς κοσμούμενος, ὡς πανοπλίαν Χριστοῦ, ὁλολαμπὴς ἄλλος, ἀνεφάνης ἥλιος, καταφωτίζων ὅσιε, τοὺς λαοὺς διδαχαῖς σου, καὶ τῶν αἱρέσεων πρόῤῥιζον, πᾶσαν τὴν ἀπάτην ἀνέσπασας.

Οἱ τῆς Μονῆς σου ἀδελφοὶ τιμῶσί σου, τὴν μνήμην Μάξιμε, καὶ ἐνθέου βίου, τρόπαια κηρύττουσι· σὺ καρτερῶν ἀνδρείως γάρ, φυλακῇ ἐν ζοφώδει, πολυετῆ κάθειρξιν, νέος τις Ἰὼβ ἐχρημάτισας.

**Θεοτοκίον**

Πρὸς σὲ τὴν σπλάγχνοις δεξαμένην Ἄχραντε, τὸ πῦρ τὸ ἄστεκτον, νῦν ἐκβοῶ πίστει, τῆς γεέννης ῥῦσαί με, καὶ τῆς ἀποκειμένης μοι, διὰ πλῆθος πταισμάτων, κολάσεως ἐλευθέρωσον, σοῦ ταῖς μητρικαῖς παρακλήσεσιν.

**Καταβασία.**

***»Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, »ἐπεπόλευσέ ποτε· ὡσεὶ τεῖχος γὰρ »ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζο»ποντοποροῦντι καὶ θεαρέστως μελ»ποντι· Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως »γὰρ δεδόξασται.***

**Ὠδὴ γ΄. Τῆς Θεοτόκου.**
**Ὁ Εἱρμός.**

*»Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς »ζῶσα καὶ ἄφθονος πηγή, θίασον »συγκροτήσαντας, πνευματικὸν στε»ρέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, »στεφάνων δόξης ἀξίωσον.*

Ὑψίστου ναέ Παραμυθία, ἀστείρευτον φρέαρ οἰκτιρμῶν, Μονὴν τὴν κινδυνεύουσαν, ἐκ πειρατῶν διέσωσας, καὶ θάνατον ἀνέστειλας, τὸν κατ᾽ ἀζύγων κινούμενον.

Θεοῦ καὶ Υἱοῦ σου, ὃν ὡς βρέφος, κρατεῖς ἐν ἀγκάλαις ἀγαθή, τὴν θέλουσαν σφραγῖσαι σου, τὸ στόμα χεῖρα φεύγουσα, τῷ πρώτῳ ὡς φιλάνθρωπος, ἐχθρῶν προσεῖπας τὴν ἔφοδον.

Ἰσχύς, προσφυγή, παρηγορία, ἐλπὶς καὶ βεβαία ἀρωγή, ὑπάρχεις τοῖς ἑκάστοτε, πιστῶς σε μακαρίζουσι, Παραμυθία, Δέσποινα, Βατοπαιδίου θησαύρισμα.

Ἀχείμαστον ὅρμον καὶ λιμένα, πανεύδιον κέκτηνται τὴν σήν, εἰκόνα οἱ μονάζοντες, θεοφιλῶς ἐν Ἄθωνι· διὸ αὐτῇ προστρέχουσι, Παραμυθία, ἐν κλύδωσι.

**Τῆς Θεοτόκου, Ἕτερος.**
**Οὐρανίας ἁψῖδος.**

Ἱλαρότητος χάριν, ἡ σὴ μορφὴ Ἄχραντε, ἡ τετυπωμένη Εἰκόνι, τῇ παναγίᾳ σου, παρέχει ἅπασι, καὶ ψυχικὴν ἀθυμίαν, διαλύει Δέσποινα, τῶν προσιόντων σοι.

Δὸς κἀμοὶ τῷ σῷ δούλῳ, τῷ ταπεινῷ Ἄχραντε, ὡς παραμυθία ἁπάντων καὶ καταφύγιον, τὴν σὴν βοήθειαν, ἵνα ῥυσθῶ τῆς μανίας, καὶ τῆς δολιότητος, τοῦ πολεμήτορος.

Ὡς ἐλάλησας πάλαι, ὑπερφυῶς Ἄχραντε, ἐκ τῆς σῆς ἁγίας Εἰκόνος, οὕτω νῦν φώνησον, ἐν τῇ καρδίᾳ μου, παραμυθίας τὸν λόγον, ἅπασαν διώκοντα, ἐχθροῦ ἐπήρειαν.

Νέκρωσόν μου Παρθένε, τὸ τῆς σαρκὸς φρόνημα, καὶ ζωῆς ἁγίας τῷ πόθῳ, τὸν νοῦν μου πτέρωσον, πρὸς τὰ οὐράνια, καὶ παρακλήσεως θείας, τὴν τεθολωμένην μου, καρδίαν πλήρωσον.

**Τοῦ Ἁγίου. Ὁ στερεώσας κατ᾽ ἀρχάς.**
Ἀνακαθάρας σου τὸν νοῦν, ἐν πράξει καὶ θεωρίᾳ, θεολόγος ὄντως Πάτερ ἐγένου, καὶ διδάγματα σοφά, συγγράφων διετέλεσας, καὶ Ἐκκλησίας κόσμος, λαμπρὸς ἐδείχθης Μακάριε.

Ἰχνηλατῶν πάσῃ σπουδῇ, τοῖς βήμασι τῶν πατέρων, μιμητὴς τούτων ἐδείχθης Θεόφρον, καὶ ἐπ᾽ ὤμων τὸν Σταυρόν, ὁδὸν στενὴν διήνυσας, καὶ νῦν γῆν τῶν πρᾳέων, σὺν τούτοις Μάξιμε εἴληφας.

Δοκιμασθεὶς ὥσπερ χρυσός, ἐν τῇ καμίνῳ τῶν πόνων, νικητὴς τροπαιοφόρος ἐγένου, εὐσεβείας προφανῶς, τῷ ζήλῳ πυρπολούμενος, ἐπινικίοις ψάλλων, ᾠδαῖς τῷ σὲ χαριτώσαντι.

Ἰσχὺν σὺ πάτερ εἰληφώς, καὶ ζήλῳ πεπυρσευμένος, τὰς κιβδήλους διδαχὰς τῶν ἀφρόνων, διεσκέδασας ὀρθαῖς, διδασκαλίαις Μάξιμε· τὴν γὰρ Θεοῦ σοφίαν, πανόσιε κατεπλούτησας.

**Θεοτοκίον**
Ὁ συναΐδιος Πατρί, καὶ Πνεύματι Θεὸς Λόγος, ἀναπλάσαι βουληθεὶς τὸν γενάρχην, καθ᾽ ὑπόστασιν αὐτόν, ἐκ σοῦ Ἁγνὴ συνέλαβεν, ἁγιωτέραν πάντων, σὲ Θεομῆτορ εὑράμενος.

**Καταβασία.**
*»Τὸ στερέωμα τῶν ἐπὶ σοὶ πεποιθό-
»των, στερέωσον, Κύριε τὴν ἐκκλη-
»σίαν, ἣν ἐκτήσω, τῷ τιμίῳ σου αἵ-
»ματι.*

**Μετὰ τὴν Γ΄ Ὠδήν,**
**Κοντάκιον τοῦ Ἁγίου Μαξίμου.**
**Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**
Βατοπαιδίου τῆς Μονῆς τὸ θεῖον βλάστημα, καὶ μοναστῶν τὸ ἱερώτατον ἐντρύφημα, θεῖον Μάξιμον, πρεπόντως ἀνευφημοῦμεν· ἐν ἀσκήσει γὰρ τὸ πρότερον διέπρεψε, καὶ Ἀπόστολος ὡς ἄλλος ἔθνη ἔσωσε· διὸ κράζομεν· Χαίροις πάτερ ἱερώτατε.

**Ὁ Οἶκος.**
Τὸ τῆς Πανάγνου θεοφρούρητον Ὄρος, πολλαπλῶς σωτήριον ἀναδειχθέν, ποικίλως τοῖς πᾶσι παρέχει ἀντίληψιν. Καὶ τοῖς μὲν ἐν μετανοίᾳ ζητοῦσι τὸ θεῖον ἔλεος, πολυτρόπως καὶ ἀρίστως τὰ κρείττω χαρίζεται. Τοὺς δὲ ὑπερβαλλόντως ἀγωνιζομένους, πάλαι τε καὶ ἐπ᾽ ἐσχάτων, πατέρας ὁσίους καὶ δικαίους, χάριτος θείας πεπληρωμένους ἀναδείκνυσι. Ὧν εἷς καὶ ὁ παρ᾽ ἡμῖν σήμερον τιμώμενος, ἐπὶ τῇ διπλῇ αὐτοῦ προσφορᾷ, Ὁσίου τε καὶ Διδασκάλου· διὸ εἰκότως αὐτῷ κράζομεν· Χαίροις, πάτερ ἱερώτατε.

**Εἶτα· Κάθισμα. Τῆς Παραμυθίας.**
**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**
Τὴν θείαν σου μορφήν, καθορῶντες Παρθένε, πηγάζουσαν ἡμῖν, συμπαθείας τὰ ῥεῖθρα, πιστῶς σοι ἀνακράζομεν, παραμύθει ἑκάστοτε, τοὺς ἐν θλίψεσι, Παραμυθία ὡς οὖσα, Παντευλόγητε, καὶ σωτηρία καὶ σκέπη, ἡμῶν καὶ προσφύγιον.

**Δόξα. Τοῦ Ἁγίου.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Τῆς θείας λαμπρότητος, καταυγασθεὶς τῷ φωτί, τὸ σκότος ἀπήλασας τῶν ὀλεθρίων παθῶν, πατὴρ ἡμῶν Μάξιμε· ἔφθασας ἀπαθείας, περιπόθητον ὕψος, δόξης ἀδιαδόχου, ἐπαξίως μετέχων, σκηνώσας εἰς ἄδυτον φῶς, τῆς βασιλείας Χριστοῦ.

**Καὶ νῦν. Τῆς Παραμυθίας.**
**Ὅμοιον.**

Τὴν ποίμνην σου φύλαττε, θεοκυῆτορ Ἁγνή, ἐκ πάσης ἑκάστοτε, καταδρομῆς ἐχθρικῆς, τῇ σῇ ἀγαθότητι· Ἔχοντες γὰρ ὡς τεῖχος, τὴν σεπτήν σου Εἰκόνα, ἥνπερ Παραμυθίαν, καταλλήλως καλοῦμεν, πρὸς ταύτην καταφεύγομεν, ἀεὶ καὶ σῳζόμεθα.

**Ὠδὴ δ΄. Τῆς Θεοτόκου.**
**Ὁ Εἱρμός.**

*»Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου »Θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν »Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ »Παρθένῳ, καὶ διέσωσε, τοὺς κραυ»γάζοντας· Δόξα Χριστέ, τῇ δυνάμει »σου.*

Γέρας πέλει ἡ εἰκών σου, καὶ σεπτὸν ἀγαλλίαμα, τῆς Βατοπαιδίου, μάνδρας σεβασμίας τοῦ Ἄθωνος, τῆς ἐν ᾠδαῖς εὐφημούσης εὐσπλαγχνίας σου, καὶ προνοίας σου, Παραμυθία τὸ ἄφατον.

Λόγους τῶν ἐμῶν χειλέων, καὶ τὸν πόθον καρδίας μου, δεξαμένη Μῆτερ, ἄξιον τῆς σῆς ἀντιλήψεως, Παραμυθία τὸν δείλαιόν με ποίησον, ὡς ἂν ᾄδω σοι· Χαῖρε, φιλεύσπλαγχνε Δέσποινα.

Ὑπερένδοξε Παρθένε, προμηθείας σου ῥεύμασι, καὶ φιλανθρωπίας, ῥείθροις σου ἀνάψυξον δέομαι, Παραμυθία τοὺς πόθῳ ἀνυμνοῦντάς σε, καὶ τὴν θείαν σου, ἐκδεχομένους βοήθειαν.

Κοίμησόν μου τὰς ὀρέξεις, τῆς σαρκὸς καὶ ὁρμήματα, πράϋνον γεώδη, προστασία κόσμου ἀκοίμητε, Παραμυθία βοῶ σοι, ἀσπαζόμενος, τὴν εἰκόνα σου, τὴν ἱερὰν καὶ πανσέβαστον.

**Τῆς Θεοτόκου, Ἕτερος.**
**Εἰσακήκοα Κύριε.**

Ἰσχὺν θείαν παράσχου μοι, ὦ Παραμυθία Παρθένε Δέσποινα, ὡς ἂν πάσης περιγένωμαι, τοῦ ἐχθροῦ ἀπάτης καὶ σκαιότητος.

Δολερῶν ἐπιθέσεων, ῥῦσαί με Παρθένε τοῦ παναλάστορος, καὶ τὴν λύπην διασκέδασον, τῆς ψυχῆς μου Κόρη τῇ σῇ χάριτι.

Ἱερὸν παραμύθιον, πέλει ἡ Εἰκών σου ἡ χαριτόβρυτος, ᾗ προσπίπτοντες λαμβάνομεν, Κόρη εὐφροσύνην τὴν οὐράνιον.

Δεσμοῖς Κόρη με σύνδησον, τῆς τοῦ σοῦ Υἱοῦ τερπνῆς ἀγαπήσεως, καὶ τὸ ἄλγος παραμύθησαι, τῆς λελυπημένης διανοίας μου.

**Τοῦ Ἁγίου. Σύ μου ἰσχύς, Κύριε.**

Ὑπὲρ Χριστοῦ, παθεῖν ἀγάπης ἑλόμενος, ἔξω κόσμου καὶ πατρίδος γέγονας, τὴν ἐμπαθῆ σάρκα καὶ θνητήν, καὶ τὰς κάτω φέρειν προφάσεις ἀποδυσάμενος· ὅθεν τῆς ἀπαθείας καὶ τῆς θεολογίας, ἐκομίσω τὸ χάρισμα Μάξιμε.

Μάρτυς κλεινός, τῇ προαιρέσει γενόμενος, τῶν μισούντων, μάστιγας ὑπέμεινας, καὶ τὰ δεσμὰ φέρεις καρτερῶν, καὶ εἱρκτὴν ζοφώδη, ἐν ᾗ ἐκ φθόνου σε ᾤκιζων, δοκοῦντές σε κωλύειν, τοῦ κράζειν ἀνενδότως· Τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ἀνακραθείς, ὅλος ἀγάπῃ τοῦ Κτίσαντος, οὐκ ἐπαύσω, τῶν πολλῶν ἀγώνων σου, τὰς ἀμοιβάς, ἔχων κατὰ νοῦν, καὶ μονὰς τὰς πλείστας, ὥσπερ ὁ Κύριος ἔφησεν· διὸ καὶ μέχρι τέλους, διετέλεις κραυγάζων· Τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

**Θεοτοκίον**

Ξενοπρεπής, ἀθανασίας παράδεισος, καὶ ὡραῖος, Κόρη ἀναδέδειξαι, ξύλον ζωῆς ἐν φυτευθέν, θεαρχικωτάτως, κυοφοροῦσα καὶ τίκτουσα, τὸ πᾶσιν ἀποστάζον ζωηφόρους ἐλπίδας, τοῖς πιστῶς Θεοτόκον φρονοῦσί σε.

**Καταβασία.**

***»Ἐκάλυψεν Οὐρανούς ἡ ἀρετή σου »Χριστέ· τῆς κιβωτοῦ γάρ προελθών, »τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου »Μητρός, ἐν τῷ ναῷ τῆς δόξης σου »ὤφθης ὡς βρέφος ἀγκαλοφορούμε- »νος, καὶ ἐπληρώθη τὰ πάντα τῆς »σῆς αἰνέσεως.***

**Ὠδὴ ε΄. Ὁ Εἱρμός.**

*»Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ Θείᾳ »δόξῃ σου· σὺ γάρ, ἀπειρόγαμε Παρ- »θένε, ἔσχες ἐν μήτρᾳ, τὸν ἐπὶ πάν- »των Θεόν, καὶ τέτοκας ἄχρονον Υἱ- »όν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν »βραβεύοντα.*

Ἐλπὶς καὶ βοήθεια, Παραμυθία πέλουσα, πάντων χριστωνύμων οἰκετῶν σου, παθῶν κακίστης, αἰχμαλωσίας ἡμᾶς, ἐξάρπασον καὶ τῆς οὐρανῶν, χαρμονῆς ἀξίωσον, ἀπολαῦσαι σοὺς πρόσφυγας.

Ἰλύος ἀπόπλυνον, παθῶν με ἐπομβρίαις σου, τῶν σεπτῶν εὐχῶν, Παραμυθία, ἵνα ὑμνῶ σε, ὡς σωτηρίας κρουνόν, καὶ σπεύδω ἑκάστοτε τὸ σόν, ἔκτυπον ἀσπάσασθαι, τὸ πηγάζον ἰάματα.

Ἀκένωτον τράπεζαν, μακροθυμίας ἔγνωμεν, σὲ οἱ χοϊκοί, Παραμυθία· διὸ πλουσίως, ἡμεῖς πιστῶς ἐξ αὐτῆς, ἐσθίοντες θάῤῥος καὶ ἰσχύν, τοῦ Υἱοῦ σου ἔλεος, ἐκζητῆσαι λαμβάνομεν.

Πληγεὶς ὁ πολύστηνος, ταῖς προσβολαῖς τοῦ δράκοντος, σπεύδω ταῖς ἀόκνοις σου πρεσβείαις, Παραμυθία, καὶ θεραπείαν ζητῶ, ἣν δός μοι ὡς μήτηρ εὐκλεής, τοῦ Θεοῦ Παντάνακτος, καὶ Δεσπότου τῆς κτίσεως.

**Τῆς Θεοτόκου, Ἕτερος.**

**Φώτισον ἡμᾶς.**

Ὅλη παμφαής, μυστικῇ ἐπισκιάσει σου, πέλει Κόρη ἡ Εἰκών σου ἡ σεπτή, ἣν Παραμυθίαν, πίστει ὀνομάζομεν.

Ὕψωσον ἡμᾶς, πρὸς ὑψώσεις βίου κρείττονος, τοὺς ζητοῦντας τὴν θερμήν σου ἀρωγήν, ὡς ἀληθής, παραμυθία ἡμῶν Δέσποινα.

Χαίρει ἡ Μονή, τὴν Εἰκόνα σου κατέχουσα, τοῦ Βατοπαιδίου τὴν σεπτήν, παραμυθουμένην, Κόρη τοὺς προστρέχοντας.

Ἄνωθεν ἡμᾶς, παραμύθησαι Πανάμωμε, νοερᾷ ἐπισκιάσει σου Ἁγνή, καὶ τὸ νέφος, τῶν παθῶν ἡμῶν διάλυσον.

**Τοῦ Ἁγίου. Ἵνα τί με ἀπώσω.**

Ἱερεὺς ὥς τις ἄλλος, αἴγλῃ τῇ τοῦ Πνεύματος, πάτερ ἀπήστραψας, θεολόγῳ γλώσσῃ, εὐσεβείας τὸ μέγα μυστήριον, σκότει ἀγνωσίας, τοὺς ἐκ βοῤῥᾶ λαοὺς φωτίζεις, ἐπιστρέφων ἐκ πλάνης τοῖς λόγοις σου.

Μετανοίας τοῖς πόνοις, πάθη καθηράμενος, ναὸς πανέντιμος, ὅλος τοῖς πατρᾶσι μιμητὴς ἐχρημάτισας ὅσιε, ἀρετῶν δοχεῖον, ὅλον σαὐτὸν μεταμορφώσας, ἀπὸ δόξης εἰς δόξαν τῇ χάριτι.

Ὄρει θείῳ ἐν Ἄθῳ, πρότερον οἰκήσας ὅσιε Μάξιμε, τοῖς σοφοῖς πατρᾶσι ὑπετάγης φρονίμως μακάριε, καὶ δικαίως ὤφθης, χαρίτων πλήρης τῶν ἐκείνων, καὶ διδάσκεις ἃ πείρᾳ μεμάθηκας.

**Θεοτοκίον**

Νῦν σε τεῖχος πλουτοῦντες, καὶ τῇ προστασίᾳ σου περιφρουρούμενοι, σῇ δὲ θείᾳ δόξῃ, ἐγκαυχώμενοι σὲ μακαρίζομεν· σὺ γὰρ Παναγία, τὴν τῶν ψυχῶν ἡμῶν πηγάζεις, εὐφροσύνην καὶ τὴν ἀγαλλίασιν.

**Καταβασία.**

***»Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς, ἐν »θρόνῳ ἐπηρμένῳ Θεόν, ὑπ᾿ Ἀγγέ»λων δόξης δορυφορούμενον, ὢ τά»λας! ἐβόα, ἐγώ· πρὸ γὰρ εἶδον σω»ματούμενον Θεόν, φωτὸς ἀνεσπέ»ρου καὶ εἰρήνης δεσπόζοντα.***

**Ὠδὴ στ΄. Ὁ Εἱρμός.**

*»Τὴν θείαν ταύτην καὶ πάντιμον, τε»λοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θε»ομήτορος, δεῦτε τὰς χεῖρας κροτή»σωμεν τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν »δοξάζοντες.*

Ἐκλάμπει πᾶσιν ἡ χάρις σου, σεμνὴ Παραμυθία ἀείποτε, τοῖς προσπελάζουσι, τῇ παναγίᾳ εἰκόνι σου, τὸν ζόφον σβεννυούσῃ, παθῶν καὶ θλίψεων.

Πυξὶς τῆς σῆς ἀγαθότητος, καὶ γνώμων πρὸς τὸ γένος τὸ βρότειον, τῆς προστασίας σου, ἡ σὴ εἰκὼν πέλει πάντοτε, Παραμυθία Μῆτερ, Θεοῦ περίδοξε.

Εὐήχοις μέλεσι ψάλλομεν, σὺν πᾶσι μοναστῶν τοῖς στρατεύμασι, τοῖς ἐν τῷ Ἄθωνι, Παραμυθία τὴν δόξαν σου, τὴν ἀῤῥαγῆ σου σκέπην, καὶ τὴν ἀντίληψιν.

Ἰδού σοι χαῖρε κραυγάζομεν, ἀεὶ τῇ ῥυομένῃ ἐκ θλίψεων, τὸ Βατοπαίδιον, Παραμυθία πανύμητε, ἐκ τῶν ἐχθροῦ ἐφόδων, καὶ περιστάσεων.

**Τῆς Θεοτόκου, Ἕτερος.**
**Τὴν δέησιν, ἐκχεῶ.**

Ῥεόντων, τῆς προσπαθείας τὸν νοῦν μου, καὶ τοῦ ἄχθους τῆς πικρᾶς ἀθυμίας, Παραμυθία Πανάμωμε Κόρη, ὡς συμπαθείας ἀμέτρητον πέλαγος, ἀπάλλαξον ἐκδυσωπῶ, καὶ χαρᾶς τὴν καρδίαν μου πλήρωσον.

Ἰσχύος, Παραμυθία Παρθένε, ἀναβλύζει θεϊκῆς διαδόσεις, καὶ καταθλίψεως πάσης ἐλαύνει, ἡ παναγία Εἰκών σου σκοτόμαιναν· διὸ κηρύττομεν ἀεί, τὴν πολλὴν πρὸς ἡμᾶς σου χρηστότητα.

Ναμάτων, τῶν μυστικῶν ἐπομβρίᾳ, ἀθυμίας καὶ ἀνίας καὶ λύπης, σβέσον καὶ παῦσον τὴν φλόγα εἰς τέλος Παραμυθία Παρθένε πανύμνητε, καὶ δρόσισόν μου τὴν ψυχήν, ἐν τῇ αὔρᾳ τῆς σῆς ἀγαθότητος.

Κατεῖδε, τὴν ἀλλαγὴν τῶν προσώπων, ἐν τῇ θείᾳ σου Εἰκόνι Παρθένε, Βατοπαιδίου πληθὺς μοναζόντων, καὶ τὴν πολλὴν εὐσπλαγχνίαν σου ᾔνεσαν· ὅτι διέσωσας αὐτούς, πειρατῶν φοβερᾶς ἐπιθέσεως.

**Τοῦ Ἁγίου. Ἱλάσθητί μοι Σωτήρ.**

Καὶ σὺ μονῶν κορωνίς, ἀγάλλου νῦν Βατοπαίδιον, σοῦ ἀνυμνοῦσα υἱοῦ τὰ ἀνδραγαθήματα, ἀσκήσει τὸ πρότερον καὶ ὁμολογίᾳ, τὴν ζωὴν αὐτοῦ σφραγίσαντος.

Λιμένος πρὶν τοῦ καλοῦ, Βατοπαιδίου τὸ στάδιον, εἰσῆλθες καρτερικῶς καὶ διπλοῦν τὸν στέφανον, ἀπείληφας Ὅσιε, τὸν διπλοῦν ἀγῶνα, ἐκτελέσας ἐντελέστατα.

Εἰρήνης ὄντως υἱός, ἐκλήθης Μάξιμε ὅσιε, ὡς ἄμφω σῶμα καὶ νοῦν, εἰς ἓν ἐνηρμόνισας, καὶ λαοὺς τοῖς ἤθεσι, περιπλανηθέντας ἐπανέφερες τοῖς λόγοις σου.

Ἰάτρευσον καὶ ἡμῶν, τὰ πάθη Πάτερ καὶ τραύματα, ἃ ὁ ἐχθρὸς πολεμῶν, δολίως ἐργάζεται, καὶ σῷζε τὴν Μάνδραν σου, τῆς ἁγνῆς Παρθένου, τὴν γεραίρουσαν τὴν μνήμην σου.

**Θεοτοκίον.**

Νηδύος ὤφθης ἑκών, ἐξ ἀπειράνδρου σαρκούμενος, ὁ ἄσαρκος ὡς Θεός, Χριστὲ σαρκοφόρος δέ, ὡς ἄνθρωπος πέφυκας, οὗ τῆς ἐμφερείας, οἱ πιστοὶ τὸ εἶδος σέβομεν.

**Καταβασία.**

***»Ἐβόησέ σοι, ἰδὼν ὁ πρέσβυς, τοῖς ὀ-
»φθαλμοῖς τὸ σωτήριον, ὃ λαοῖς ἐπέ-
»στη· ἐκ Θεοῦ Χριστέ, σὺ Θεός μου.***

**Κοντάκιον, τῆς Παραμυθίας.**

**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Πρὸ τῆς εἰκόνος σου ὁ Καθηγούμενος, ἑστὼς Πανύμνητε καὶ προσευχόμενος, εἶδε τὴν ξένην καὶ φρικτὴν ἀλλοίωσιν τῇ μορφῇ σου· καὶ ἐκ τῶν χειλέων σου, τῇ πολλῇ εὐσπλαγχνίᾳ σου, ἔλαβε τὸ κέλευσμα, ὃ τὴν μάνδραν διέσωσε· διό σοι προσηκόντως βοῶμεν· Χαῖρε, σεμνὴ Παραμυθία.

**Ὁ Οἶκος.**

Τίς ἂν ἐπαξίως ἀνυμνήσῃ τὰς πρὸς ἡμᾶς ἀπείρους σου εὐεργεσίας, καὶ εὐσπλαγχνίας τὸν πλοῦτον, εὐλογημένη Παντάνασσα; Σὺ γὰρ τὴν τοῦ Βατοπαιδίου μάνδραν ἐξ ὀλεθρίου πειρατῶν ἐφόδου διέσωσας, τῷ ἡγουμένῳ αὐτῆς προσομιλήσασα, καὶ τοῦ Υἱοῦ σου τὴν δικαίαν ὀργὴν σκεδάσασα· εὐχαρίστοις οὖν ᾠδαῖς δοξάζομέν σε, Μητρόθεε, καὶ τὴν πάνσεπτον εἰκόνα σου ἀσπαζόμεθα, ἀναβοῶντες ἐν πίστει· Χαῖρε, σεμνὴ Παραμυθία.

**Συναξάριον.**

Τῇ ΚΑ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαξίμου τοῦ Ὁμολογητοῦ.

**Στίχοι.**

Ἄχειρ, ἄγλωττος, χεῖρα καὶ γλῶτταν φύεις,
Καὶ χερσὶ Θεοῦ, Μάξιμε, ψυχὴν δίδως.
Εἰκάδι πρώτῃ πότμος, Μαξίμου ὄσσ᾽ ἐκάλυψεν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Μαξίμου τοῦ Βατοπαιδινοῦ, νέου ὁμολογητοῦ καὶ φωτιστοῦ τῆς Ῥωσσίας, τοῦ καλουμένου «Γραικοῦ».

**Στίχοι.**

Μάξιμος μέγας τῇ κλήσει καὶ τῷ βίῳ,

Μείζων δὲ νῦν τοῖς Νόοις συγχορεύων.
Εἰκάδι τε πρώτῃ Μάξιμος, κεκλήσκετο εἰς πόλον εὐρύν.

•

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Μάρτυρος Νεοφύτου, τοῦ ἀσκήσαντος ἐν Ὀλύμπῳ τῆς Βιθυνίας.

**Στίχοι.**

Τὸν Νεόφυτον ἐκριζοῖ γῆθεν δόρυ,
Νέου φυτοῦ κάλλιστον οἷά περ θάλος.

•

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ζωσίμου, Ἐπισκόπου Συρακούσης, Σικελῶν νήσου.

**Στίχοι.**

Μετάστασιν Ζώσιμος εὗρεν ἐκ βίου,
Ὧ καὶ πρὸ ταύτης πᾶς μετάστασις βίος.

•

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι Μάρτυρες Εὐγένιος, Οὐαλλεριανός, Κάνδιδος, καὶ Ἀκύλας οἱ ἐκ Τραπεζοῦντος, ξίφει τελειοῦνται.

**Στίχοι.**

Τὸν Εὐγένιον, καὶ συνάθλους τρεῖς ἅμα,
Δι᾽ εὐγένειαν ψυχικὴν κτείνει ξίφος.

•

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Σύναξις τῆς Ἁγίας Εἰρήνης, ἐν τῇ Ἁγιωτάτῃ Ἐκκλησίᾳ τῇ οὔσῃ πρὸς θάλασσαν.

**Στίχοι.**

Εἰρήνην πρυτάνευσον, Μάρτυς Εἰρήνη,
Ἡμῖν εὐφημοῦσί σε ἐν τῷ Ναῷ σου.

•

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ἁγίας Μάρτυρος Ἁγνῆς τῆς Ῥωμαίας.

**Στίχοι.**

Ὑπὲρ νέον σοι μόσχον, ὡς Δαυῒδ λέγει,
Ἤρεσκεν Ἁγνὴ πυρπολουμένη, Λόγε.

•

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι τέσσαρες Μάρτυρες, οἱ ἐν Τύρῳ, ξίφει τελειοῦνται.

**Στίχοι.**

Στερρῶν ἀθλητῶν τεσσάρων φωνὴ μία,
Ἡμῖν τὸ θνῄσκειν ἐκ ξίφους εὐθυμία.

•

Τῇ αὐτῇ ἡμέρᾳ,, μνείαν ποιούμεθα τῶν θαυμασίων τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τῆς ἐπικαλουμένης Παραμυθίας· ἐξαιρέτως δὲ τῆς θαυμαστῆς διασώσεως τῆς τοῦ Βατοπαιδίου μάνδρας, ἐκ τῆς τῶν πειρατῶν ἐφόδου, τῇ αὐτῆς φιλευσπλάγχνῳ προνοίᾳ.

**Στίχοι.**

Χαρᾶς αἰτία, Παραμυθία, πέλεις,
Καὶ θλίψεων ἀλεξιτήριον κόσμου.
Προνοίας σου νεύσει, Βατοπαίδιον πάλαι, ἐκ βλάβης ἐῤῥύσω, Παραμυθία.

•

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Νεόφυτος ὁ Προσμονάριος τῆς τοῦ Βατοπαιδίου Μονῆς, ὁ καὶ τῆς φωνῆς τῆς Θεοτόκου ἀκούσας, προελθούσης ἐκ τοῦ στόματος τῆς ἁγίας αὐτῆς Εἰκόνος, ἐν εἰρήνῃ τελειοῦται.

**Στίχοι.**

Ὁ Νεόφυτος Παρθένου πέλων φίλος,
Φωνῆς ἀκούει τῆς δε. Ὢ θαῦμα ξένον!

•

Ταῖς τῆς Παναχράντου σου Μητρὸς καὶ Παραμυθίας τοῦ Κόσμου, καὶ πάντων σου τῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

**ᾨδὴ ζ΄. Ὁ Εἱρμός.**

*»Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεό-»φρονες, παρὰ τὸν κτίσαντα· ἀλλὰ »πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαν-»τες, χαίροντες ἔψαλλον· Ὑπερύμνη-»τε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς »εὐλογητὸς εἶ.*

Σβέσον καύσωνα, τῆς φαύλης συνηθείας μου, ἀτοπημάτων μου, καὶ ψυχοφθόρου ὀργῆς, ψεκάσιν ἐντεύξεων, τῶν σῶν πρὸς Κύριον, Μητροπάρθενε, Παραμυθία ἵνα σε, εἰς αἰῶνας μεγαλύνω.

Μακαρίζομεν, Παραμυθία πάνσεπτε, ἀζύγων δῆμοί σε, Βατοπαιδίου μονῆς, καὶ πόθῳ ἑκάστοτε, κατασπαζόμεθα, τὴν εἰκόνα σου, ἐκ πειρατῶν τὴν σώσασαν, πάλαι τοῦτο τὸ σεμνεῖον.

Ὁ συνέχων με, θανάτου ἀπελήλαται, ζόφος τῇ θείᾳ σου, ἐπισκοπῇ ἀγαθή· διὸ ἀτενίζων σοι, Παραμυθία μου, ἱκετεύω σε· τῆς οὐρανῶν ἀξίωσον, βασιλείας τὸν σὸν δοῦλον.

Ἰατρεῖόν σε, ἀδάπανον γινώσκομεν, Θεογεννήτρια, Παραμυθία κλεινή, οἱ ὧδε μονάζοντες, σεμνῶς καὶ σπεύδομεν, τὴν εἰκόνα σου, πανευλαβῶς τὴν πάντιμον, καὶ ἁγίαν προσκυνῆσαι.

**Τῆς Θεοτόκου, Ἕτερος.**
**Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ὀμβροφόρε νεφέλη, ἡ ὀμβρήσασα κόσμῳ ζωὴν αἰώνιον, τῆς θείας εὐφροσύνης, τὸν ζωηφόρον ὄμβρον, Θεοτόκε ἐπόμβρησον, Παραμυθία Ἁγνή, τοῖς στένουσιν ἐν λύπαις.

Ῥάβδῳ θείᾳ Παρθένε, τῆς θερμῆς σου πρεσβείας καὶ ἀντιλήψεως, ἀπέλασον ὡς κύνα, ματαίως ὑλακτοῦντα, κατ᾽ ἐμοῦ τὸν πολέμιον, Παραμυθία Ἁγνή, ἀνθρώπων εὐφροσύνη.

Ἡ γλυκεῖά σου ὄψις, ἐν τῇ θείᾳ Εἰκόνι σου Παναμώμητε, χαρᾶς καὶ εὐφροσύνης, πληροῖ πᾶσαν καρδίαν, καὶ πρὸς αἶνον τῆς δόξης σου, Παραμυθία Ἁγνή, τοὺς πάντας διεγείρει.

Γέρας θεῖον πλουτοῦσα, καὶ πηγὴν συμπαθείας Παρθένε Ἄχραντε, Μονὴ Βατοπαιδίου, τὴν θείαν σου Εἰκόνα, πάσης θλίψεως ῥύεται, καὶ ὀνομάζει αὐτήν, Παραμυθίαν Κόρη.

**Τοῦ Ἁγίου. Παῖδες Ἑβραίων.**

Ὄρους ἐπέβης θεωρίας, Μάξιμε θεόφρον τῇ σπουδῇ σου, καὶ ὑψώσεις Θεοῦ, ἀνέλαβες κραυγάζων· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Νέμοις τοῖς πόθῳ σου τελοῦσι, τὰ μνημόσυνα συγγνώμην θεῖε πάτερ· τοὺς ὑμνοῦντας δὲ νῦν, φώτισον μελῳδοῦντας· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Γένους ποτὲ τοῦ φωτισθέντος, Πάτερ μνήσθητι καὶ πρέσβευε σωθῆναι, ἐξ ἀθέων δεινῶς, κρατούντων ἐν τῇ χώρᾳ, καὶ κωλυόντων ψάλλειν νῦν· Ὁ Θεὸς εὐλογητὸς εἶ.

**Θεοτοκίον.**

Ἐν ταῖς ζάλαις ἐφεῦρόν σε λιμένα, ἐν ταῖς λύπαις χαρὰν καὶ εὐφροσύνην, καὶ ἐν ταῖς νόσοις Ἄχραντε βοήθειαν, καὶ ἐν τοῖς κινδύνοις, ῥύστιν καὶ προστάτιν, ἐν τοῖς πειρατηρίοις.

**Καταβασία.**

***»Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, Παῖδας »θεολογήσαντας, καὶ Παρθένῳ ἀκη»ράτῳ ἐνοικήσαντα, Θεὸν Λόγον ὑ»μνοῦμεν, εὐσεβῶς μελῳδοῦντες· Εὐ»λογητὸς ὁ Θεός, ὁ τῶν πατέρων »ἡμῶν.***

**Ὠδὴ η΄. Ὁ Εἱρμός.**

*»Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τό»κος τῆς Θεοτόκου διεσώσατο, τότε »μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμε»νος, τὴν οἰκουμένην ἅπασαν, ἀγεί»ρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε »τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας »τοὺς αἰῶνας.*

Θλίψεων ἐκ πάντων τὴν ψυχήν μου, καὶ βλάβης τοῦ πονηροῦ Βελίαρ ἀπολύτρωσαι, φιλανθρώπως Δέσποινα, δρῶσα, ἡ τὰ δάκρυα, ἐμοῦ οὐ παραβλέπουσα, ἀλλὰ σπογγίζουσα, αὐτὰ τῶν πρεσβειῶν σου τῷ μάκτρῳ πρὸς τὸν Ζωοδότην Θεοῦ Ὑψίστου Λόγον.

Ἔπλησας ἀφάτου εὐφροσύνης, τὸν δῆμον τῶν μοναστῶν τῶν ὧδε Ἄχραντε, ἀσκουμένων λέγουσα, πάλαι τὰ συμφέροντα, αὐτοῖς, ὢ ξένου θαύματος! Διὸ νῦν κράζομεν· ἡμῶν τὸ κατηφὲς τῆς καρδίας, ῥάβδῳ πρεσβειῶν μετάστρεψον ταχέως.

Ὅρμος γαληνότατος ὑπάρχεις, καὶ φρούριον, Παναμώμητε ἀχείρωτον, σκέπη καὶ κραταίωμα, τῶν καταφευγόντων σοι, Παραμυθία δούλων σου, ἐν περιστάσεσι, παντοίαις, καὶ ὑμνούντων ἀπαύστως, τὸ δεδοξασμένον, Υἱὸν μονογενῆ σου.

Τὰς πρὸς τοὺς οἰκέτας σου ἐκφάνσεις, εὐνοίας τῆς σῆς κηρύττομεν ἀείποτε, καὶ φωνῇ, Παντάνασσα, στεντορείᾳ κράζομεν· ὡς πάλαι Βατοπαίδιον, ἐῤῥύσω τάχιστα, ἐφόδου ἐξ ἐχθρῶν κακοβούλων, ῥῦσαι καὶ δουλείας ἡμᾶς τοῦ παμβεβήλου.

**Τῆς Θεοτόκου, Ἕτερος.**

**Τὸν Βασιλέα τῶν οὐρανῶν.**

Ἐξ ἀθυμίας, καὶ συνοχῆς ὀλεθρίας, ἀπολύτρωσαι Παραμυθία Κόρη, τοὺς ὑπερυψοῦντας, τὸν ἄφραστόν σου τόκον.

Ῥεῖθρον Παρθένε, τῆς νοητῆς εὐφροσύνης, πᾶσι βλύζουσα πηγὴ ὡς εὐσπλαγχνίας, σβέσον μου τὴν φλόγα, παθῶν τῶν ψυχοφθόρων.

Ἀγγέλων δόξα, καὶ παραμύθιον μέγα, βροτῶν πέλουσα Παραμυθία Κόρη, πάσης ἀθυμίας, ἀπάλλαξον τὸν νοῦν μου.

Στρέψον τὴν λύπην, Παραμυθία Παρθένε, τῆς καρδίας μου εἰς θείαν εὐφροσύνην, καὶ τῆς ἐπηρείας, ἐχθροῦ ἀπάλλαξόν με.

**Τοῦ Ἁγίου. Τὸν ἐν ὄρει ἁγίῳ.**

Ῥητόρων ἐδείχθης κληρονόμος, θεοφθόγγων τῶν θείων Ἀποστόλων, τὴν τούτων ὁδὸν ἐβάδισας προθύμως, γράφων καὶ διδάσκων· Τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀνέτειλέ σοι πρωΐμως Θεοφόρε, ἡ τῶν ἄνω θρόνων, πάρεδρος Σοφία, καὶ οἰκονόμος ἄριστος γεγένησαι, ἄξια μερίζων, πᾶσι τοῖς αἰτοῦσί σε, λύσιν τῶν πταισμάτων, ψυχῶν τε σωτηρίαν.

Ἱκέτευε Μάξιμε παγίδων, τοῦ φυλάττεσθαι ἀτρώτους τοῦ δολίου, τοὺς σοὺς ἀδελφούς, Μονήν σου νῦν οἰκοῦντας, τὴν εὐσεβῆ ὁμήγυριν, Κύριον ὑμνοῦντας καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

*Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον ὑμνοῦμεν.*

Ῥεόντων τὸ ἄστατον γνωρίσας, ἀπεῤῥάγης ἐγκαίρως ἐκ τοῦ κόσμου· σπουδῇ δὲ σοφὲ τῆς ἔξωθεν σοφίας, τ᾽ ἄριστα ἐκλέγων, γέγονας δοχεῖον, Θεοῦ ἡγιασμένον.

*Καὶ νῦν.* **Θεοτοκίον.**

Ὢ φρικτοῦ, Ἰησοῦ μου μυστηρίου, ἐν γαστρὶ πῶς οἰκεῖς Ἀχώρητος ὢν φύσει; πῶς τὴν ἐμὴν ἀτρέπτως σάρκα ἔλαβες, ἣν θεοῖς δι᾽ οἶκτον; πῶς δὲ τὴν τεκοῦσαν ἁγνεύουσαν φυλάττεις.

**Καταβασία.**
*Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.*

***»Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσε-
»βείας προεστῶτες Νεανίαι· τῇ φλογὶ
»δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελ-
»πον· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν
»Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας
»τοὺς αἰῶνας.***



**Στιχολογοῦμεν τὴν Τιμιωτέραν.**

**Ὠδὴ θ΄. Ὁ Εἱρμός.**

*»Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύμα-
»τι, λαμπαδουχούμενος· πανηγυριζέτω
»δὲ, ἀΰλων Νόων, φύσις γεραίρουσα,
»τὴν ἱερὰν πανήγυριν, τῆς Θεομήτο-
»ρος, καὶ βοάτω· Χαίροις παμμακάρι-
»στε, Θεοτόκε Ἁγνή, ἀειπάρθενε.*

Οἴκτιρον λαόν, τὸν σοὶ προσερχόμενον, καὶ ἀνακράζοντα· Παναγία Δέσποινα, Παραμυθία πιστῶν βοήθεια, ἐξ ἀδοκήτων θλίψεων, τῇ προστασίᾳ σου, ῥῦσαι τάχος, ἵνα χαριστήριον, σοὶ προσάγωμεν ὕμνον γηθόμενοι.

Καύχημα βροτῶν, ἀζύγων ἀντίληψις, Μονῆς θησαύρισμα, καὶ λαμπρὸν διάσωσμα, Βατοπαιδίου τῆς ἐν τῷ Ἄθωνι, Παραμυθία πρόσδεξαι, τὰς ἱκεσίας μου, καὶ ἐν ὥρᾳ, τῆς φρικτῆς ἐτάσεως, τοῦ ἀχρείου οἰκέτου σου μνήσθητι.

Εὔφρανον ἡμῶν, ἁγνὴ τὴν διάνοιαν, καὶ διαβήματα, εὐσεβῶς κατεύθυνον, πρὸς ἐργασίαν τοῦ θείου Τόκου σου, τῶν ἐντολῶν πρεσβείαις σου, Θεογεννήτρια, ἵνα πάντες, πόθῳ ἀσπαζώμεθα, τὸ λαμπρὸν καὶ σεπτόν σου ἐκτύπωμα.

Χαῖρε τῆς Μονῆς, ἡμῶν ἀγαλλίαμα, χαῖρε ἀνάψυξις, θλιβομένων κράζομεν, οἱ ἐνοικοῦντες τὸ Βατοπαίδιον, Παραμυθία Δέσποινα· χαῖρε διάσωσμα, μονοτρόπων, καὶ πιστοῦ πληρώματος, ἀδιάσειστον, χαῖρε προπύργιον.

**Τῆς Θεοτόκου, Ἕτερος.**

**Κυρίως Θεοτόκον.**

Ἱλέῳ ὄμματί σου, ἴδε τὴν ψυχήν μου, τὴν τεθλιμμένην πολλοῖς ἁμαρτήμασι, Παραμυθία Παρθένε, καὶ δός μοι ἴασιν.

Μανίας τοῦ δολίου, ῥῦσαί με Παρθένε, καὶ συνοχῆς πονηρᾶς τε καὶ θλίψεως, ὡς παραμύθιον πάντων καὶ καταφύγιον.

Οὐράνωσον τὸν νοῦν μου, ἔρωτι τῷ θείῳ, καὶ γεηρῶν θλιβερῶν με ἀπάλλαξον, Παραμυθία Παρθένε, ἵνα δοξάζω σε.

Ὑμνῶν ἀδιαλείπτως, τὴν σὴν εὐσπλαγχνίαν, Παραμυθία Παρθένε κραυγάζω σοι· ῥῦου με πάσης ἀνίας τοῦ παναλάστορος.

**Τοῦ Ἁγίου.**

**Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.**

Ἱκέτευε τρισμάκαρ τῆς σῆς Μονῆς, τὸ βασίλειον νῦν ἱεράτευμα, τὸ σεβαστόν, μένειν ἡνωμένον καὶ εὐλαβές, καὶ τὴν ὀρθὴν παράδοσιν, ἣν τῇ σῇ ἐχάραξας βιοτῇ, φυλάσσειν ἄχρι τέλους, Μάξιμε θεοφόρε, Βατοπαιδίου ἐγκαλλώπισμα.

Ὡραῖός σου ὁ βίος καὶ ἡ σεπτή, ἣν ἐτέλεσας πίστει ὦ Μάξιμε, ἀποστολή, ὡς ἱεροκῆρυξ καὶ φωτιστής, τῆς ἀχανοῦς Ῥωσσίδος γῆς, σκότους ἀγνωσίας καὶ μαρασμοῦ, εὐχαῖς σου ἐξαμοίβων, ὀρθῶν δογμάτων πίστιν καὶ τῶν ἠθῶν τὴν ἐπανόρθωσιν.

Συνέσει καὶ σοφίᾳ πνευματικῇ, ἀνεδείχθης διδάσκαλος ἄριστος, θεολογῶν, καὶ Λατίνων ἔθρυσας τὴν ὀφρύν· τὰ δὲ πατέρων δόγματα, ῥώμῃ ἀνεκήρυξας καὶ σπουδῇ, τοῦ βίου μαρτυροῦντος, ὁμολογίας κλέος, τὴν τελευτήν σου στεφανώσαντος.

Ἡδύνεται αἰσίως ἡ σὴ Μονή, ὡς στεφάνους αὐτῆς τέκνα φέρουσα, περιχαρῶς, Μάξιμε, τὸν Σάββαν τὸν θαυμαστόν, καὶ τὸν κλεινὸν Εὐθύμιον σὺν τῇ δωδεκάδι τῶν Ἀθλητῶν, Γεννάδιον Κοσμᾶν τε, Ἀγάπιον τὸν πάνυ, σὺν Νικοδήμῳ καὶ Νεόφυτον.

**Θεοτοκίον.**

Φθαρεῖσαν τὴν ψυχήν μου κλαίω πικρῶς· ἡ τεκοῦσα Θεὸν ὑπεράγαθον ὡς συμπαθής, ἴασαι καὶ λύτρωσαι τῶν ἀεί, κολαφιζόντων ἄχραντε, καὶ ἐπεμβαινόντων μοι δυσμενῶν, σῳζόμενός σε ὅπως, προθύμως μεγαλύνω, τῆς σωτηρίας μου τὴν πρόξενον.

**Καταβασία.**

*Θεοτόκε ἡ ἐλπίς, πάντων τῶν χριστιανῶν, σκέπε, φρούρει, φύλαττε τοὺς ἐλπίζοντας εἰς σέ.*

***»Ἐν νόμῳ σκιᾷ καὶ γράμματι, τύπον »κατίδωμεν οἱ πιστοί· πᾶν ἄρσεν τὸ »τὴν μήτραν διανοῖγον, Ἅγιον Θεῷ· »διὸ πρωτότοκον Λόγον Πατρὸς ἀνάρ- »χου Υἱόν, πρωτοτοκούμενον μητρὶ »ἀπειράνδρῳ μεγαλύνομεν.***

**Ἐξαποστειλάρια.**

**Τῆς Παραμυθίας.**

**Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.**

Χαρᾶς τὴν ἀνεκλάλητον, αἰτίαν καὶ τῶν θλίψεων, ἀλεξιτήριον θεῖον, Παραμυθίαν Παρθένον, τὸ πέλαγος χρηστότητος, καὶ συμπαθείας τέμενος, χρεωστικῶς τιμήσωμεν, και μελιῤῥύτοις ἐν ὕμνοις, ἀνευφημήσωμεν πόθῳ.

**Τοῦ Ἁγίου Μαξίμου.**

**Τοῖς μαθηταῖς συνέλθωμεν.**

Βατοπαιδίου σκίρτα νῦν, σὺν Ὄρει τῷ Ἁγίῳ, Θεὸς γάρ σοι προβάλλεται, ὡς στέφανους σὰ τέκνα, Μάξιμον θεολόγον, οὗ τὴν μνήμην τιμῶμεν, καὶ σὺν αὐτῷ τοὺς ἅπαντας, μάρτυρας καὶ ὁσίους, σὺν ἀσκηταῖς, εἰς περίχωρόν σου στήσαντας πάλην, καὶ τὸν ἐχθρὸν αἰσχύναντας, χάριτι τῆς Πανάγνου.

**Ἕτερον τῆς Παραμυθίας.**

**Γυναῖκες ἀκουτίσθητε.**

Παραμυθία κέκληται, προσφόρως Ἀειπάρθενε, ἡ παναγία Εἰκών σου, παραμυθίαν καὶ χάριν, καὶ μυστικὴν παράκλησιν, καὶ τῶν δεινῶν ἐκλύτρωσιν, διὰ παντὸς παρέχουσα, τοῖς εὐλαβῶς προσιοῦσι, καὶ ἀνυμνοῦσί σε Κόρη.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

**Ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Τῆς Παραμυθίας.**

**Ἦχος πλ. δ΄.**
**Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τοῦ παραδόξου θαύματος! τῷ προεστῶτι σαφῶς, τῆς μονῆς προσωμίλησας, καὶ αὐτῷ ἐμήνυσας, τὸν ἐσόμενον κίνδυνον, Παραμυθία, Παρθένε πάνσεμνε, Βατοπαιδίου, μονῆς θησαύρισμα· ὅθεν οἱ σύλλογοι, τῶν ἀζύγων αἴνεσιν πανευλαβῶς, σήμερόν σοι πέμπομεν, εὐχαριστήριον.

Ὢ τοῦ παραδόξου θαύματος! ἵνα τὴν χεῖρα εὐθύς, σοῦ Υἱοῦ τὴν πανάχραντον, ἀποφύγῃς ἔκφρασιν, τῆς μορφῆς σου ἠλλοίωσας, Παραμυθία, σεμνή, τὴν θέλουσαν, σφραγῖσαι χείλη, τῆς εὐσπλαγχνίας σου, καὶ βλάβην μέλλουσαν, μὴ λαλῆσαι Δέσποινα, τοῖς μοναστῶν, δήμοις τοῖς πικράνασι, Χριστὸν τὸν Κύριον.

Ὢ τοῦ παραδόξου θαύματος! ἐκ τῶν πυλῶν τῆς φθορᾶς, τοὺς μονάζοντας ἥρπασας, φιλευσπλάγχνῳ νεύσει σου, εἰς τὴν μάνδραν Πανύμνητε, Βατοπαιδίου, καὶ ἐκ συλήσεως, στυγνῶν βαρβάρων, αὐτὴν διέσωσας· ὅθεν ἑόρτιον εὐγνωμόνως αἴνεσιν, νῦν οἱ πιστῶν, δῆμοι ἀναμέλπομεν, σοὶ Μητροπάρθενε.

**Ἕτερα. Τοῦ Ἁγίου Μαξίμου.**

**Ἦχος πλ. α΄.**
**Χαίροις ἀσκητικῶν ἀληθῶς.**

Χαίροις τῆς ἱερᾶς σου Μονῆς, στέφανος ὄντως ἔπαινός τε καὶ καύχη-

μα, καὶ θεία παραμυθία, τῶν ἐν αὐτῇ μαθητῶν, οὓς διδάσκεις πάτερ ἐκ τοῦ βίου σου, συνέσει κοσμούμενος, ἀρετῶν καταγώγιον· πρᾶος τῷ ὄντι, καὶ εὐθὺς τὴν προαίρεσιν, τοῖς αἰτοῦσί σε, τὰ σωτήρια ἔλεγες. Μάξιμε καρτερώτατε, οὐράνιε ἄνθρωπε, ὀρθοδοξίας ὁ στῦλος, τῶν εὐσεβῶν κήρυξ γέγονας, παιδεύων διδάσκων, καὶ πρός θείαν πολιτείαν τούτους ὡδήγησας.

Στίχ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Ἔχων τὸν εὐσεβῆ λογισμόν, διαφερόντως τῶν παθῶν αὐτοκράτορα, ἐπέβης ἀνεπιστρέπτῳ, τῇ προαιρέσει ὀρθῶς, θείᾳ θεωρίᾳ διὰ πράξεως, θεολόγος θεόληπτος, μυστογράφος σοφώτατος, πύρινος γλῶσσα, τὰς αἱρέσεις φλογίζουσα, ὥσπερ μάχαιρα ὀξυτάτη καὶ δίστομος, πλάνας τὰς ἐκ τῆς Δύσεως, ἀνέτρεψας λόγοις σου, Μάξιμε θείων δογμάτων, ἡ ἀκριβὴς ἀναστήλωσις· Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Στίχ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.*

Χαίροις τὸ τῆς σοφίας σεπτόν, καὶ Θείου Πνεύματος ἁγνὸν καταγώγιον, ἡ κλῖμαξ ἣν εἶδε τότε, ὁ Ἰακὼβ ἀρετῶν, ἃς ἐκτήσω πάτερ ἱερώτατε· Ἀγάπην τὴν κρείττονα, πρὸς Θεὸν συνεπλήρωσας, καὶ τὸν πλησίον, πρὸ σαυτοῦ σὺ τετίμηκας, τοῖς ποθοῦσι δὲ τὸν Χριστὸν πόθῳ ἔδειξας, Μάξιμε ἱερώτατε, φωτίζων τοῖς λόγοις σου, τὰς ἐκκλησίας στηρίζων, καὶ τῶν ἠθῶν τὴν ὀρθότητα, σφραγίσας τοῖς πόνοις, ὡς ἀπόστολός τις ἄλλος, τὴν μαρτυρίαν σου.

**_Δόξα._ Τοῦ Ἁγίου Μαξίμου.**
**Ἦχος πλ. δ΄.**

Τὸ κατ᾽ εἰκόνα τηρήσας ἀκέραιον, Μάξιμε πάτερ, πρὸς τὸ καθ᾽ ὁμοίωσιν, δ᾽ ὡς δυνατὸν προσπελάσας, υἱὸς Θεοῦ πρεπόντως κεκλήρωσαι. Τῆς γὰρ φωνῆς Κυρίου, τοῦ Θεοῦ ἐπακούσας· "στήριξον τὸν ἀδελφόν σου", οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς. Τῆς δὲ κρείττονος ὁδοῦ, τὸ πέρας ἐκπληρώσας, τοῖς βορείοις ἀπεδήμησας λαοῖς, σκότει ἀγνωσίας καὶ ἀχλύει αἱρέσεων πεπλανημένοις· οὓς διδάσκων καὶ φωτίζων ἐπέστρεψας, πρὸς νομὰς σωτηρίους· φθόνῳ δὲ τοῦ ἐχθροῦ διασυρείς, φυλακαῖς πολυετὴς ἐκαρτέρησας, σφραγίσας σου τὸ ἔργον δι᾽ ὁμολογίας· *καὶ νῦν* ἐν οὐρανοῖς, τῶν πόνων σου τὰ ἔπαθλα κομιζόμενος, μνήσθητι καὶ ἡμῶν, τῶν εὐφημούντων σε.

**_Καὶ νῦν._ Τῆς Παραμυθίας.**
**Ἦχος πλ. α΄.**

Τῇ μητρικῇ σου παῤῥησίᾳ, καὶ φιλανθρώπῳ προνοίᾳ, ἀπελαύνεις τῶν θλίψεων καὶ κινδύνων ζόφωσιν, Παραμυθία παντευλόγητε· σὺ γὰρ τὴν λύπην, εἰς ἄφατον μεταποιεῖς εὐφροσύνην, ὅτι ὀξέως προφθάνουσα τὰς παγίδας συντρίβεις, καὶ ἐκ δεινῶν ἀπαλλάττεις τοὺς δούλους σου· μὴ παύσῃ οὖν ἀσφαλῶς καὶ ἡμᾶς διέπουσα, καὶ ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, τήρησον ἡμᾶς ἀκατακρίτους, ταῖς πρὸς τὸν Υἱόν σου ἐντεύξεσι.

**Δοξολογία μεγάλη,**
**μεθ᾽ ἣν ψάλλομεν τὸ Ἀπολυτίκιον**
**τοῦ Ὁσίου (διὰ τὸ Ἅγιον Λείψανον),**
**ἡ ἐκτενὴς καὶ Ἀπόλυσις.**

## ΕΝ ΤΗ͂Ι ΛΕΙΤΟΥΡΓΙᾼ

**Ψάλλονται τὰ Τυπικά, καὶ οἱ μακαρισμοὶ εἰς ιβ΄ στίχους ἐκ τῶν κανόνων τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.**

**Ὠδὴ γ΄. Τῆς Θεοτόκου.**
**Ἦχος δ΄. Τοὺς σοὺς ὑμνολόγους**

Ὑψίστου ναέ Παραμυθία, ἀστείρευτον φρέαρ οἰκτιρμῶν, Μονὴν τὴν κινδυνεύουσαν, ἐκ πειρατῶν διέσωσας, καὶ θάνατον ἀνέστειλας, τὸν κατ᾽ ἀζύγων κινούμενον.

Θεοῦ καὶ Υἱοῦ σου, ὃν ὡς βρέφος, κρατεῖς ἐν ἀγκάλαις ἀγαθή, τὴν θέλουσαν σφραγῖσαι σου, τὸ στόμα χεῖρα φεύγουσα, τῷ πρώτῳ ὡς φιλάνθρωπος, ἐχθρῶν προσεῖπας τὴν ἔφοδον.

Ἰσχύς, προσφυγή, παρηγορία, ἐλπὶς καὶ βεβαία ἀρωγή, ὑπάρχεις τοῖς ἑκάστοτε, πιστῶς σε μακαρίζουσι, Παραμυθία, Δέσποινα, Βατοπαιδίου θησαύρισμα.

Ἀχείμαστον ὅρμον καὶ λιμένα, πανεύδιον κέκτηνται τὴν σήν, εἰκόνα οἱ μονάζοντες, θεοφιλῶς ἐν Ἄθωνι· διὸ αὐτῇ προστρέχουσι, Παραμυθία, ἐν κλύδωσι.

**Ὠδὴ ς΄. Τῆς Θεοτόκου, Ἕτερος.**
**Ἦχος πλ.δ΄. Τὴν δέησιν, ἐκχεῶ.**

Ῥεόντων, τῆς προσπαθείας τὸν νοῦν μου, καὶ τοῦ ἄχθους τῆς πικρᾶς ἀθυμίας, Παραμυθία Πανάμωμε Κόρη, ὡς συμπαθείας ἀμέτρητον πέλαγος, ἀπάλλαξον ἐκδυσωπῶ, καὶ χαρᾶς τὴν καρδίαν μου πλήρωσον.

Ἰσχύος, Παραμυθία Παρθένε, αναβλύζει θεϊκῆς διαδόσεις, καὶ καταθλίψεως πάσης ἐλαύνει, ἡ παναγία Εἰκών σου σκοτόμαιναν· διὸ κηρύττομεν ἀεί, τὴν πολλὴν πρὸς ἡμᾶς σου χρηστότητα.

Ναμάτων, τῶν μυστικῶν ἐπομβρίᾳ, ἀθυμίας καὶ ἀνίας καὶ λύπης, σβέσον καὶ παῦσον τὴν φλόγα εἰς τέλος Παραμυθία Παρθένε πανύμνητε, καὶ δρόσισόν μου τὴν ψυχήν, ἐν τῇ αὔρᾳ τῆς σῆς ἀγαθότητος.

Κατεῖδε, τὴν ἀλλαγὴν τῶν προσώπων, ἐν τῇ θείᾳ σου Εἰκόνι Παρθένε, Βατοπαιδίου πληθὺς μοναζόντων, καὶ τὴν πολλὴν εὐσπλαγχνίαν σου ᾔνεσαν· ὅτι διέσωσας αὐτούς, πειρατῶν φοβερᾶς ἐπιθέσεως.

**Ὠδὴ ς΄. Τοῦ Ἁγίου.**
**Ἦχος πλ.δ΄. Ἱλάσθητί μοι Σωτήρ.**

Καὶ σὺ μονῶν κορωνίς, ἀγάλλου νῦν Βατοπαίδιον, σοῦ ἀνυμνοῦσα υἱοῦ τὰ ἀνδραγαθήματα, ἀσκήσει τὸ πρότερον καὶ ὁμολογίᾳ, τὴν ζωὴν αὐτοῦ σφραγίσαντος.

Λιμένος πρὶν τοῦ καλοῦ, Βατοπαιδίου τὸ στάδιον, εἰσῆλθες καρτερικῶς καὶ διπλοῦν τὸν στέφανον, ἀπείληφας Ὅσιε, τὸν διπλοῦν ἀγῶνα, ἐκτελέσας ἐντελέστατα.

*Δόξα.*

Εἰρήνης ὄντως υἱός, ἐκλήθης Μάξιμε ὅσιε, ὡς ἄμφω σῶμα καὶ νοῦν, εἰς ἓν ἐνηρμόνισας, καὶ λαοὺς τοῖς ἤθεσι, περιπλανηθέντας ἐπανέφερες τοῖς λόγοις σου.

*Καὶ νῦν.* **Θεοτοκίον.**

Ἰάτρευσον καὶ ἡμῶν, τὰ πάθη Πάτερ καὶ τραύματα, ἃ ὁ ἐχθρὸς πολεμῶν, δολίως ἐργάζεται, καὶ σῷζε τὴν Μάνδραν σου, τῆς ἁγνῆς Παρθένου, τὴν γεραίρουσαν τὴν μνήμην σου.

**Ἀπολυτίκια λέγομεν μόνον τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.**

**Ἀπολυτίκιον τῆς Παραμυθίας.**
**Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.**

Σῶσαι θέλουσα Κόρη τὸ Βατοπαίδιον, Παραμυθία γλυκεῖα ἐκ πειρατῶν βδελυρῶν, θαυμαστῶς τῷ προεστῶτι προσωμίλησας, καὶ καθυπέδειξας αὐτῷ, σωτηρίας χειρισμούς· διό σε νῦν εὐφημοῦντες, πιστῶς αἰτούμεθα πάντες, πρὸς τὸν Υἱόν σου τὰς θερμάς σου εὐχάς.

**Ἕτερον τῆς Παραμυθίας.**
**Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.**

Τῆς ποίμνης κυκλωθείσης ὑπὸ τῶν πολεμίων, καὶ τῶν διωκτῶν ὑλακτούντων κατὰ τῶν σῶν προβάτων, προσεῖπας τῷ δούλῳ σου Ἁγνή, καθ᾽ ὕπαρ φωνήσασα αὐτῷ· διὰ τοῦτο καὶ χορεῖαι τῶν μοναστῶν, σοὶ κράζουσι Θεοτόκε· Δόξα τῇ ἀντιλήψει σου Σεμνή, δόξα τῇ προστασίᾳ σου, δόξα Παραμυθία, σοὶ μόνη Πανύμνητε.

**Τοῦ Ἁγίου Μαξίμου.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ἀσκήσει τὸ πρότερον, παιδαγωγήσας σαυτόν, ἐν ὄρει τοῦ Ἄθωνος, καὶ νεκρωθεὶς τῷ Θεῷ, τὸν κόσμον κατέλαβες· μέγας φανεὶς παμμακαρ ἰσαπόστολος νέος, ἔστρεψας πλανωμένους εἰς ὁδοὺς τοῦ Κυρίου, διὸ θεόφρον Μάξιμε, ἡμῶν μνημόνευε.

**Κοντάκιον τοῦ Ἁγίου Μαξίμου.**
**Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Βατοπαιδίου τῆς Μονῆς τὸ θεῖον βλάστημα, καὶ μοναστῶν τὸ ἱερώτατον ἐντρύφημα, θεῖον Μάξιμον, πρεπόντως ἀνευφημοῦμεν· ἐν ἀσκήσει γὰρ τὸ πρότερον διέπρεψε, καὶ Ἀπόστολος ὡς ἄλλος ἔθνη ἔσωσε· διὸ κράζομεν· Χαίροις πάτερ ἱερώτατε.

**Τέλος Κοντάκιον, τῆς Παραμυθίας.**
**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Πρὸ τῆς εἰκόνος σου ὁ Καθηγούμενος, ἑστὼς Πανύμνητε καὶ προσευχόμενος, εἶδε τὴν ξένην καὶ φρικτὴν ἀλλοίωσιν τῇ μορφῇ σου· καὶ ἐκ τῶν χειλέων σου, τῇ πολλῇ εὐσπλαγχνίᾳ σου, ἔλαβε τὸ κέλευσμα, ὃ τὴν μάνδραν διέσωσε· διό σοι προσηκόντως βοῶμεν· Χαῖρε, σεμνὴ Παραμυθία.

**Ἀποστολοευαγγέλιον τοῦ Ἁγίου (ζήτει κα΄ Ἰανουαρίου) καὶ τῆς Θεοτόκου (κα΄ Νοεμβρίου).**

**Μεγαλυνάριον τῆς Παραμυθίας.**

Κόρη Πανακήρατε ἡ ἐλπίς, τῶν ἀπηλπισμένων, καὶ ἀντίληψις τῶν πιστῶν, σῶσον σοὺς οἰκέτας, ἀπὸ παντοίας βλάβης, Παρθένε Θεοτόκε, Παραμυθία μου.

**Μεγαλυνάριον τοῦ Ἁγίου Μαξίμου.**

Χαίροις ἡ Μεγίστη καὶ Ἱερά, τοῦ Βαοπαιδίου, ἡ Μονὴ ἡ θεοφιλής, ὅτι πρὸς τοῖς ἄλλοις, υἱοῖς σου νῦν κατέχεις, τὸν Μάξιμον τὸν Μέγαν, ὃν μεγαλύνομεν.

**Κοινωνικόν· «Ποτήριον σωτηρίου...» καὶ «Εἰς μνημόσυνον...»**

**ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ**


ΜΕΓΙΣΤΗ ΜΟΝΗ ·ΒΤΠΔ· ΙΕΡΑ ΒΑΣΙΛΙΚΗ ΠΑΤΡΙΑΡΧΙΚΗ ΚΑΙ ΣΤΑΥΡΟΠΗΓΙΑΚΗ